5 οὐ νέον, ἀλλὰ καὶ παρὰ πᾶσιν ἀνθρώποις ἀρχαιότητι τετιμημένον ἔθνος, τοῖς πᾶσι καὶ αὐτὸ γνώριμον, τὸ Ἑβραίων τυγχάνει. λόγοι δὴ παρὰ τούτῳ καὶ γράμματα παλαιοὺς ἄνδρας περιέχουσιν, σπανίους μὲν καὶ ἀριθμῷ βραχεῖς, ἀλλ' ὅμως εὐσεβείᾳ καὶ δικαιοσύνῃ καὶ πάσῃ τῇ λοιπῇ διενεγκόντας ἀρετῇ, πρό μέν γε

[76] Is 66,8.
[77] Is 65,15-16.
[78] También esta afirmación tiene su historia. Nacida de los medios judíos, como puede comprobarse por el *Contra Apionem*, de F. Josefo, es recogida por la apologética cristiana; cf. TEÓFILO DE ANTIOQUÍA, *Ad Autol.* 3,20-28; LACTANCIO, *Inst. divin.* 4,10. Sobre las relaciones entre la Iglesia y el viejo Israel, cf. M. SIMON, *Verus Israel. Étude sur les relations entre chrétiens et juifs dans l'empire romain* (135-435) (Paris 1948) p.107ss.

las demás virtudes. De ellos, unos vivieron antes del diluvio, y los otros después. Y entre los hijos y descendientes de Noé, sobresale especialmente Abrahán, al que los hijos de los hebreos se jactan de tener por autor y primer padre.

6 Si, remontándose desde Abrahán hasta el primer hombre, alguien añadiera que todos esos varones, cuya justicia está bien atestiguada, fueron cristianos, si no de nombre, sí por sus obras, no andaría equivocado [79].

7 Porque lo que ese nombre significa es que el cristiano, a causa del conocimiento de Cristo y de su doctrina, sobresale por su sobriedad, por su justicia, por la firmeza de su carácter, por el valor de su virtud y por el reconocimiento de un solo y único Dios de todas las cosas [80], y el interés de aquellos hombres por todas estas cosas en nada era inferior al nuestro.

8 No se preocuparon de la circuncisión corporal, como tampoco nosotros; ni de la guarda del sábado, como nosotros tampoco; ni de la abstención de tales o cuales alimentos, ni de apartarse de tantas otras cosas como después Moisés, el primero que comenzó, dejó por tradición que, como símbolos, se cumplieran, y que nosotros, los cristianos de ahora, tampoco guardamos. En cambio, claramente conocieron al Cristo de Dios si, como antes hemos demostrado [81], se apareció a Abrahán, trató con Isaac, habló a Israel y conversó con Moisés y con los profetas posteriores [82].

τοῦ κατακλυσμοῦ διαφόρους, μετὰ δὲ καὶ τοῦτον ἑτέρους, τῶν τε τοῦ Νῶε παίδων καὶ ἀπογόνων ἀτὰρ καὶ τὸν Ἀβρααμ, ὃν ἀρχηγὸν καὶ προπάτορα σφῶν αὐτῶν παῖδες Ἑβραίων αὐχοῦσι.

6 πάντας δὴ ἐκείνους ἐπὶ δικαιοσύνῃ μεμαρτυρημένους, ἐξ αὐτοῦ Ἀβρααμ ἐπὶ τὸν πρῶτον ἀνιοῦσιν ἄνθρωπον, ἔργῳ Χριστιανούς, εἰ καὶ μὴ ὀνόματι, προσειπών τις οὐκ ἂν ἐκτὸς βάλοι τῆς ἀληθείας.

7 ὃ γάρ τοι δηλοῦν ἐθέλοι τοὔνομα, τὸν Χριστιανὸν ἄνδρα διὰ τῆς τοῦ Χριστοῦ γνώσεως καὶ διδασκαλίας σωφροσύνῃ καὶ δικαιοσύνῃ καρτερίᾳ τε βίου καὶ ἀρετῆς ἀνδρείᾳ εὐσεβείας τε ὁμολογίᾳ ἑνὸς καὶ μόνου τοῦ ἐπὶ πάντων θεοῦ διαπρέπειν, τοῦτο πᾶν ἐκείνοις οὐ χεῖρον ἡμῶν ἐσπουδάζετο.

8 οὔτ' οὖν σώματος αὐτοῖς περιτομῆς ἔμελεν, ὅτι μηδὲ ἡμῖν, οὐ σαββάτων ἐπιτηρήσεως, ὅτι μηδὲ ἡμῖν, ἀλλ' οὐδὲ τῶν τοιῶνδε τροφῶν παραφυλακῆς οὐδὲ τῶν ἄλλων διαστολῆς, ὅσα τοῖς μετέπειτα πρῶτος ἁπάντων Μωυσῆς ἀρξάμενος ἐν συμβόλοις τελεῖσθαι παραδέδωκεν, ὅτι μηδὲ νῦν Χριστιανῶν τὰ τοιαῦτα· ἀλλὰ καὶ σαφῶς αὐτὸν ᾔδεσαν τὸν Χριστὸν τοῦ θεοῦ, εἴ γε ὦφθαι μὲν τῷ Ἀβρααμ, χρηματίσαι δὲ τῷ Ἰσαακ, λελαληκέναι δὲ τῷ Ἰσραηλ, Μωυσεῖ τε καὶ τοῖς μετὰ ταῦτα προφήταις ὡμιληκέναι προδέδεικται·

[79] Esos varones ni eran judíos—son anteriores a la ley de Moisés—ni habían seguido el politeísmo del helenismo, las dos únicas realidades que Eusebio veía fuera del cristianismo. Son hebreos (cf. PE 7,8,20-21; DE 1,2,1-8) que, según este párrafo y los siguientes, pueden llamarse cristianos. Sirinelli (p.144) ve una «identificación total», afirmación que M. Harl (a.c., p.528) matiza bastante. Cf. también WALLACE-HADRILL, p.169-171.

[80] Aquí Eusebio parece suponer la identificación entre razón y revelación, según H. Berkhof *(Die Theologie des Eusebius von Caesarea* [Amsterdam 1939] p.139), H. G. Opitz *(Euseb von Caesarea als Theologe:* ZNWKAK 34 [1935] 3-4) y F. Bovon (a.c., p.132).

[81] Cf. *supra* 2,6-13.22.

[82] Gén 18,1; 26,2; 35,1.

9 Por lo que bien echarás de ver que aquellos amigos de Dios son también dignos del sobrenombre de Cristo, conforme a la sentencia que dice de ellos: *No toquéis a mis Cristos, ni hagáis mal a mis profetas*[83].

10 De donde claramente se ve la necesidad de creer que aquella religión, la primera, la más antigua y más venerable de todas, hallazgo de aquellos mismos varones amigos de Dios y compañeros de Abrahán, es la misma que recientemente se anunció a todos los pueblos por la enseñanza de Cristo.

11 Quizás se objete que Abrahán recibió mucho tiempo después el mandato de la circuncisión, pero también se proclama y se da testimonio de su justicia a causa de su fe, anterior a ese mandato, pues dice así la divina Escritura: *Y creyó Abrahán a Dios, y se le contó por justicia*[84].

12 Y a él, así justificado, antes ya de la circuncisión, Dios, que se le apareció (y este Dios era Cristo mismo, el Verbo de Dios), le participó un oráculo concerniente a los que en los tiempos venideros serían justificados del mismo modo que él; los términos de la promesa son: *Y en ti serán benditos todos los pueblos de la tierra*[85]; y también: *Y se hará un pueblo grande y numeroso, y en él serán benditos todos los pueblos de la tierra*[86].

13 Ahora bien, se puede establecer que esto se ha cumplido en nosotros, porque, efectivamente, Abrahán fue justificado por su fe en el Verbo de Dios, el Cristo, que se le había aparecido, después que hubo dicho adiós a las supersticiones de sus padres

9 ἔνθεν αὐτοὺς δὴ τοὺς θεοφιλεῖς ἐκείνους εὕροις ἂν καὶ τῆς τοῦ Χριστοῦ κατηξιωμένους ἐπωνυμίας, κατὰ τὴν φάσκουσαν περὶ αὐτῶν φωνήν «μὴ ἅψησθε τῶν Χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε».

10 ὥστε σαφῶς πρώτην ἡγεῖσθαι δεῖν καὶ πάντων παλαιοτάτην τε καὶ ἀρχαιοτάτην θεοσεβείας εὕρεσιν αὐτῶν ἐκείνων τῶν ἀμφὶ τὸν Ἀβρααμ θεοφιλῶν ἀνδρῶν τὴν ἀρτίως διὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας πᾶσιν ἔθνεσιν κατηγγελμένην.

11 εἰ δὲ δὴ μακρῷ ποθ' ὕστερον περιτομῆς φασι τὸν Ἀβρααμ ἐντολὴν εἰληφέναι, ἀλλὰ πρό γε ταύτης δικαιοσύνην διὰ πίστεως μαρτυρηθεὶς ἀνείρηται, ὧδέ πως τοῦ θείου φάσκοντος λόγου «ἐπίστευσεν δὲ Ἀβρααμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην».

12 καὶ δὴ τοιούτῳ πρὸ τῆς περιτομῆς γεγονότι χρησμὸς ὑπὸ τοῦ φήναντος ἑαυτὸν αὐτῷ θεοῦ (οὗτος δ' ἦν αὐτὸς ὁ Χριστός, ὁ τοῦ θεοῦ λόγος) περὶ τῶν ἐν τοῖς μετέπειτα χρόνοις τὸν ὅμοιον αὐτῷ δικαιοῦσθαι τρόπον μελλόντων ῥήμασιν αὐτοῖς προεπήγγελται λέγων «καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς», καὶ ὡς ὅτι «ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς».

13 τούτῳ δὲ καὶ ἐπιστῆσαι εἰς ἡμᾶς ἐκπεπληρωμένῳ πάρεστιν. πίστει μὲν γὰρ ἐκεῖνος τῇ εἰς τὸν ὀφθέντα αὐτῷ τοῦ θεοῦ λόγον τὸν Χριστὸν δεδικαίωτο, πα-

[83] Sal 104,15.
[84] Gén 15,6; cf. Rom 4,3.9-10.
[85] Gén 12,3; 22,18.
[86] Gén 18,18; cf. F. TRISOGLIO, *Eusebio di Cesarea e l'escatologia:* Augustinianum 18 (1978) 173-182.

y al error de su vida anterior[87], y luego de confesar un solo Dios, que está sobre todas las cosas, y de honrarlo con obras de virtud, no con las obras de la ley de Moisés, que vino después. Y siendo tal, a él le fue dicho que todas las tribus de la tierra y todos los pueblos serían bendecidos en él.

14 Pues bien, en los tiempos presentes, esta misma forma de religión de Abrahán solamente aparece practicada, con obras más visibles que las palabras, entre los cristianos repartidos por todo el mundo habitado.

15 Por lo tanto, ¿qué podría ya impedirnos reconocer una única e idéntica vida y forma de religión para nosotros, los que procedemos de Cristo, y para aquellos antiguos amigos de Dios? De este modo habremos demostrado que la práctica de la religión que nos ha sido transmitida por la enseñanza de Cristo no es nueva ni extraña, sino, para ser plenamente veraces, la primera y la única verdadera. Y baste con esto.

5

[De cuándo se manifestó Cristo a los hombres]

1 Bien, después de este preámbulo, necesario para la historia eclesiástica que me he propuesto, nos queda ya sólo comenzar nuestra especie de viaje, partiendo de la manifestación de nuestro Salvador en su carne y después de invocar a Dios, Padre del Verbo, y al mismo Jesucristo, Salvador y Señor nuestro, Verbo celestial

τρῴας μὲν ἀποστὰς δεισιδαιμονίας καὶ πλάνης βίου προτέρας, ἕνα δὲ τὸν ἐπὶ πάντων ὁμολογήσας θεὸν καὶ τοῦτον ἔργοις ἀρετῆς, οὐχὶ δὲ θρησκείᾳ νόμου τοῦ μετὰ ταῦτα Μωυσέως θεραπεύσας, τοιούτῳ τε ὄντι εἴρητο ὅτι δὴ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ πάντα τὰ ἔθνη ἐν αὐτῷ εὐλογηθήσεται·

14 ἔργοις δὲ λόγων ἐναργεστέροις ἐπὶ τοῦ παρόντος παρὰ μόνοις Χριστιανοῖς καθ' ὅλης τῆς οἰκουμένης ἀσκούμενος αὐτὸς ἐκεῖνος ὁ τῆς θεοσεβείας τοῦ Ἀβρααμ ἀναπέφηνε τρόπος.

15 τί δὴ οὖν λοιπὸν ἐμποδὼν ἂν εἴη, μὴ οὐχὶ ἕνα καὶ τὸν αὐτὸν βίον τε καὶ τρόπον εὐσεβείας ἡμῖν τε τοῖς ἀπὸ Χριστοῦ καὶ τοῖς πρόπαλαι θεοφιλέσιν ὁμολογεῖν; ὥστε μὴ νέαν καὶ ξένην, ἀλλ' εἰ δεῖ φάναι ἀληθεύοντα, πρώτην ὑπάρχειν καὶ μόνην καὶ ἀληθῆ κατόρθωσιν εὐσεβείας τὴν διὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας παραδοθεῖσαν ἡμῖν ἀποδείκνυσθαι. καὶ ταῦτα μὲν ὧδε ἐχέτω·

Ε'

1 φέρε δὲ ἤδη, μετὰ τὴν δέουσαν προκατασκευὴν τῆς προτεθείσης ἡμῖν ἐκκλησιαστικῆς ἱστορίας ἤδη λοιπὸν ἀπὸ τῆς ἐνσάρκου τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας οἷά τινος ὁδοιπορίας ἐφαψώμεθα, τὸν τοῦ λόγου πατέρα θεὸν καὶ τὸν δηλούμενον αὐτὸν Ἰησοῦν Χριστὸν τὸν σωτῆρα καὶ κύριον ἡμῶν, τὸν οὐράνιον τοῦ θεοῦ λόγον, βοηθὸν ἡμῖν καὶ συνεργὸν τῆς

[87] Cf. Gén 12,1; W. D. Davies, *Christian Origins and Judaism* (Londres 1961).

de Dios, como ayuda y colaborador nuestro en la verdad de la exposición.

2 Así, pues, corría el año 42 del reinado de Augusto y el vigésimo octavo desde el sometimiento de Egipto y muerte de Antonio y de Cleopatra (en la cual se extinguió la dinastía egipcia de los Tolomeos), cuando nuestro Salvador y Señor Jesucristo nace en Belén de Judea, conforme a las profecías acerca de Él [88], en tiempos del primer empadronamiento, y siendo Cirino gobernador de Siria [89].

3 Este empadronamiento de Cirino lo registra también el más ilustre de los historiadores hebreos, Flavio Josefo [90], al relatar otros hechos referentes a la secta de los galileos, surgida por aquel entonces, y de la cual hace mención también nuestro Lucas en los Hechos cuando dice: *Después de éste, se levantó Judas el Galileo, en los días del empadronamiento, y arrastró al pueblo detrás de sí. También ése pereció, y todos los que le obedecieron fueron dispersados* [91].

κατὰ τὴν διήγησιν ἀληθείας ἐπικαλεσάμενοι.

2 ἦν δὴ οὖν τοῦτο δεύτερον καὶ τεσσαρακοστὸν ἔτος τῆς Αὐγούστου βασιλείας, Αἰγύπτου δ' ὑποταγῆς καὶ τελευτῆς 'Αντωνίου καὶ Κλεοπάτρας, εἰς ἣν ὑστάτην ἡ κατ' Αἴγυπτον τῶν Πτολεμαίων κατέληξε δυναστεία, ὄγδοον ἔτος καὶ εἰκοστόν, ὁπηνίκα ὁ σωτὴρ καὶ κύριος ἡμῶν 'Ιησοῦς ὁ Χριστὸς ἐπὶ τῆς τότε πρώτης ἀπογραφῆς, ἡγεμονεύοντος Κυρινίου τῆς Συρίας, ἀκολούθως ταῖς περὶ αὐτοῦ προφητείαις ἐν Βηθλεεμ γεννᾶται τῆς 'Ιουδαίας.

3 ταύτης δὲ τῆς κατὰ Κυρίνιον ἀπογραφῆς καὶ ὁ τῶν παρ' 'Εβραίοις ἐπισημότατος ἱστορικῶν Φλαύιος 'Ιώσηπος μνημονεύει, καὶ ἄλλην ἐπισυνάπτων ἱστορίαν περὶ τῆς τῶν Γαλιλαίων κατὰ τοὺς αὐτοὺς ἐπιφυείσης χρόνους αἱρέσεως, ἧς καὶ παρ' ἡμῖν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν μνήμην ὧδέ πως λέγων πεποίηται «μετὰ τοῦτον ἀνέστη 'Ιούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείσθησαν αὐτῷ, διεσκορπίσθησαν».

[88] Miq 5,1; cf. Mt 2,5-6.

[89] Lc 2,2. De los datos indicados por Eusebio resulta que Cristo nació entre los años 3-2 antes de nuestra era, haciéndolo coincidir con el empadronamiento de Cirino, lo mismo que Orígenes (*Com. in Math.* 22,15). Sin embargo, el pasaje de F. Josefo, que Eusebio ha omitido, fija la misión de Cirino en Judea el año 6 d.C., cuando fue depuesto Arquelao (año 37 después de la batalla de Accio, ocurrida en septiembre del 31 a.C.). Véase sobre el asunto F. PRAT, *Jésus-Christ, sa vie, sa doctrine, son oeuvre*, t.1 (Paris 1933) p.513-516; SCHUERER, 1 p.508-543; M. J. LAGRANGE, *Où en est la Question du recensement à Quirinus?*: RB 8 (1911) 60-84; L. RICHARD, *L'Évangile de l'Enfance et le Décret impérial du recensement*, en Mémorial J. CHAINE (Lyon 1950) p.297-308; A. N. SHERWIN-WHITE, *Roman Society and Roman Law in the New Testament* (Oxford 1963); L. DUPRAZ, *De l'association de Tibère au principat à la naissance du Christ*: Studia Friburgensia, n.ser. (Friburgo, Suiza, 1966) 100-142; G. OGG, *Hippolytus and the introductio of the Christian Era*: VigCh 16 (1962) 2-18; C. FIRPO, *Il problema cronologico della nascita di Gesù* = Biblioteca di cultura religiosa, 42 (Brescia 1983).

[90] Nacido el año 37 d.C., Flavio Josefo vivió y colaboró con los romanos desde el año 67, y en Roma compuso sus obras. Murió a comienzos del siglo II; cf. R. LAQUEUR, *Der jüdische Historiker Flavius Josephus. Ein biographischer Versuch auf neuer quellenkritischer Grundlage* (Giesen 1920); W. WHISTON, *The Life and Work of Flavius Josephus* (Filadelfia 1957); R. J. H. SHUTT, *Studies in Josephus* (Londres 1961). H. SCHRECKENBERG, *Bibliographie zu Flavius Josephus* (= Arbeiten zur litteratur... d. hellenistischen Judeutuns, 14) (Leiden 1979). Sobre la utilización que de él hacen los Padres, cf. G. BARDY, *Le souvenir de Josèph chez les Pères*: RHE 43 (1948) 179-191. y M. E. HARDWICK, *Josephus as an historical source in Patristic literature through Eusebius* = Brown Judeic Studies, 128 (Atlanta, Ga 1989).

[91] Act 5,37.

4 A estas indicaciones, pues, el mencionado Josefo viene a añadir literalmente en el libro XVIII de sus *Antigüedades* lo siguiente:

«Cirino, miembro del senado, hombre que había desempeñado ya los otros cargos, por los que había ido pasando, sin omitir uno solo, hasta llegar a cónsul y grande por su dignidad en todo lo demás, se personó en Siria acompañado por unos pocos, enviado por César como juez de la nación y censor de los bienes» [92].

5 Y un poco después dice:

«Pero Judas el Gaulanita—de la ciudad llamada Gaula—, tomando consigo a Sadoc, un fariseo, andaba instigando a la rebelión; decía que el censo no podía conducir a otra cosa que a una abierta esclavitud, y exhortaba al pueblo a aferrarse a la libertad» [93].

6 Y sobre el mismo escribe en el libro II de sus *Historias de la guerra judía*:

«Por este tiempo, cierto galileo, llamado Judas, provocó a rebelión a los habitantes del país, reprochándoles el someterse al pago del tributo a los romanos y el soportar a unos amos mortales después de a Dios» [94].

Así Josefo.

4 τούτοις δ' οὖν καὶ ὁ δεδηλωμένος ἐν ὀκτωκαιδεκάτῳ τῆς 'Αρχαιολογίας συνῳδῶν ταῦτα παρατίθεται κατὰ λέξιν

«Κυρίνιος δὲ τῶν εἰς τὴν βουλὴν συναγομένων, ἀνὴρ τάς τε ἄλλας ἀρχὰς ἐπιτετελεκὼς καὶ διὰ πασῶν ὁδεύσας ὕπατος γενέσθαι τὰ τε ἄλλα ἀξιώματι μέγας, σὺν ὀλίγοις ἐπὶ Συρίας παρῆν, ὑπὸ Καίσαρος δικαιοδότης τοῦ ἔθνους ἀπεσταλμένος καὶ τιμητὴς τῶν οὐσιῶν γενησόμενος».

5 καὶ μετὰ βραχέα φησίν

«'Ιούδας δέ, Γαυλανίτης ἀνὴρ ἐκ πόλεως ὄνομα Γαμαλα, Σάδδοκον Φαρισαῖον προσλαβόμενος, ἠπείγετο ἐπὶ ἀποστάσει, τήν τε ἀποτίμησιν οὐδὲν ἄλλο ἢ ἄντικρυς δουλείαν ἐπιφέρειν λέγοντες καὶ τῆς ἐλευθερίας ἐπ' ἀντιλήψει παρακαλοῦντες τὸ ἔθνος».

6 καὶ ἐν τῇ δευτέρᾳ δὲ τῶν ἱστοριῶν τοῦ 'Ιουδαϊκοῦ πολέμου περὶ τοῦ αὐτοῦ ταῦτα γράφει

«ἐπὶ τούτου τις ἀνὴρ Γαλιλαῖος 'Ιούδας ὄνομα εἰς ἀποστασίαν ἐνῆγε τοὺς ἐπιχωρίους, κακίζων εἰ φόρον τε 'Ρωμαίοις τελεῖν ὑπομενοῦσιν καὶ μετὰ τὸν θεὸν οἴσουσι θνητοὺς δεσπότας».

ταῦτα ὁ 'Ιώσηπος.

[92] JOSEFO, AI 18(1)1; cf. SCHUERER, 1 p.508-543.
[93] JOSEFO, AI 18(1)4. Ver A. PAUL, *Flavius' «Antiquities of the Jews». An anti-Christian manifesto*: New Testament Studies 31 (1985) 473-480.
[94] JOSEFO, BJ 2(8,1)118; cf. SCHUERER, 1 p.420 y 486.

6

[DE CÓMO, SEGÚN LAS PROFECÍAS, EN TIEMPO DE CRISTO CESARON LOS PRÍNCIPES QUE ANTERIORMENTE VENÍAN RIGIENDO POR LÍNEA DE SUCESIÓN HEREDITARIA A LA NACIÓN JUDÍA Y EMPEZÓ A REINAR HERODES, EL PRIMER EXTRANJERO]

1 Fue en este tiempo cuando asumió el reinado sobre el pueblo judío, por primera vez, Herodes, de linaje extranjero, y tuvo cumplimiento la profecía hecha por medio de Moisés, que decía: *No faltará jefe salido de Judá ni caudillo nacido de sus muslos hasta que llegue aquel para quien está reservado* [95], y le señala como esperanza de las naciones.

2 Incumplida estuvo, efectivamente, la predicción durante el tiempo en que todavía les estaba permitido vivir bajo gobernantes propios de su nación, comenzando desde el mismo Moisés y continuando hasta el imperio de Augusto. En tiempos de éste es cuando, por primera vez, un extraño, Herodes, se ve investido por los romanos con el gobierno sobre los judíos: según nos informa Josefo [96], era idumeo por parte de padre y árabe por parte de madre. Pero, según Africano [97]—que no era un historiador improvisado—, los que nos dan una información exacta [98] sobre Herodes dicen que Antípatro (éste era su padre) era hijo de cierto Herodes de Ascalón, uno de los llamados *hieródulos* [99], que servía en el templo de Apolo [100].

Ϛ'

1 Τηνικαῦτα δὲ καὶ τοῦ Ἰουδαίων ἔθνους Ἡρῴδου πρώτου τὸ γένος ἀλλοφύλου διειληφότος τὴν βασιλείαν ἡ διὰ Μωυσέως περιγραφὴν ἐλάμβανεν προφητεία «οὐκ ἐκλείψειν ἄρχοντα ἐξ Ἰούδα οὐδὲ ἡγούμενον ἐκ τῶν μηρῶν αὐτοῦ» φήσασα, «ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται», ὃν καὶ ἀποφαίνει προσδοκίαν ἔσεσθαι ἐθνῶν.

2 ἀτελῆ γέ τοι τὰ τῆς προρρήσεως ἦν καθ' ὃν ὑπὸ τοῖς οἰκείοις τοῦ ἔθνους ἄρχουσι διάγειν αὐτοῖς ἐξῆν χρόνον, ἄνωθεν ἐξ αὐτοῦ Μωυσέως καταρξαμένοις καὶ εἰς τὴν Αὐγούστου βασιλείαν διαρκέσασιν, καθ' ὃν πρῶτος ἀλλόφυλος Ἡρῴδης τὴν κατὰ Ἰουδαίων ἐπιτρέπεται ὑπὸ Ῥωμαίων ἀρχήν, ὡς μὲν Ἰώσηπος παραδίδωσιν, Ἰδουμαῖος ὢν κατὰ πατέρα τὸ γένος Ἀράβιος δὲ κατὰ μητέρα, ὡς δ' Ἀφρικανός (οὐχ ὁ τυχὼν δὲ καὶ οὗτος γέγονε συγγραφεύς), φασὶν οἱ τὰ κατ' αὐτὸν ἀκριβοῦντες Ἀντίπατρον (τοῦτον δ' εἶναι αὐτῷ πατέρα) Ἡρῴδου τινὸς Ἀσκαλωνίτου τῶν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ἱεροδούλων καλουμένων γεγονέναι·

[95] Gén 49,10. Ver M. R. LIDA DE MALKIEL, *Herodes, su persona, reinado y dinastía* = Literatura y sociedad, 16 (Madrid 1977).

[96] JOSEFO, AI 14 (prol.2)8; (5)121; BI 1(6,2)123; (8,9)181.

[97] *Epist. ad Aristidem: infra* 7,11-12; EUSEBIO, *Ecl. proph.* 158,4s: DE 8,1,44. Julio Africano había reunido en sus cinco libros de *Cronografías* (concluidos hacia el año 220-221) todo el material cronológico que podía interesar a la apologética cristiana, continuadora de la judía, para demostrar la mayor antigüedad de la cultura judía sobre la pagana.

[98] Información que dieron seguramente los «desposynoi»; cf. *infra* 7,11.

[99] Sobre esta clase de esclavos de los templos, cf. HEPDING, *Hierodulоi:* PAULY-WISSOWA, 8 col.1459-1468.

[100] Cf. SCHUERER, 1 p.291-292; 360-418. En general, para todos los gobernantes que en

3 Este Antípatro, siendo niño, fue raptado por unos bandidos idumeos y con ellos vivió, porque su padre, pobre como era, no podía ofrecer un rescate por él. Criado en medio de sus costumbres, más tarde trabó amistad con Hircano [101], sumo sacerdote judío. De él nació el Herodes de los tiempos de nuestro Salvador...

4 Habiendo, pues, venido el reino judío a manos de tal sujeto, la expectación de las naciones, conforme a la profecía, estaba ya también a las puertas [102]: habían desaparecido del reino los príncipes y caudillos descendientes por vía de sucesión entre ellos del mismo Moisés.

5 Al menos habían reinado antes de la cautividad y de la emigración a Babilonia [103], comenzando por Saúl—el primero—y por David. Y antes de los reyes, les habían gobernado unos caudillos, los llamados jueces, que habían empezado también después de Moisés y del sucesor de éste, Josué.

6 Poco después del regreso de Babilonia se sirvieron ininterrumpidamente de un régimen político de oligarquía aristocrática (eran los sacerdotes quienes estaban a la cabeza de los asuntos), hasta que el general romano Pompeyo atacó a Jerusalén, la asaltó por la fuerza y profanó los lugares santos adentrándose hasta la parte más recóndita del templo. Y al que hasta aquel momento había subsistido por sucesión hereditaria, en calidad de rey y de sumo sacerdote al mismo tiempo—Aristóbulo se llamaba—lo envió encadenado a Roma, junto con sus hijos, y entregó el sumo sacerdocio

3 ὃς Ἀντίπατρος ὑπὸ Ἰδουμαίων λῃστῶν παιδίον αἰχμαλωτισθεὶς σὺν ἐκείνοις ἦν, διὰ τὸ μὴ δύνασθαι τὸν πατέρα πτωχὸν ὄντα καταθέσθαι ὑπὲρ αὐτοῦ, ἐντραφεὶς δὲ τοῖς ἐκείνων ἔθεσιν ὕστερον Ὑρκανῷ τῷ Ἰυοδαίων ἀρχιερεῖ φιλοῦται. τούτου γίνεται ὁ ἐπὶ τοῦ σωτῆρος ἡμῶν Ἡρῴδης·

4 εἰς δὴ οὖν τὸν τοιοῦτον τῆς Ἰουδαίων περιελθούσης βασιλείας, ἐπὶ θύραις ἤδη καὶ ἡ τῶν ἐθνῶν ἀκολούθως τῇ προφητείᾳ προσδοκία παρῆν, ἅτε διαλελοιπότων ἐξ ἐκείνου τῶν παρ' αὐτοῖς ἐξ αὐτοῦ Μωυσέως κατὰ διαδοχὴν ἀρξάντων τε καὶ ἡγησαμένων.

5 πρὸ μέν γε τῆς αἰχμαλωσίας αὐτῶν καὶ τῆς εἰς Βαβυλῶνα μεταναστάσεως ἐβασιλεύοντο, ἀπὸ Σαοὺλ πρώτου καὶ Δαυὶδ ἀρξάμενοι· πρὸ δὲ τῶν βασιλέων ἄρχοντες αὐτοὺς διεῖπον, οἱ προσαγορευόμενοι κριταί, ἄρξαντες καὶ αὐτοὶ μετὰ Μωυσέα καὶ τὸν τούτου διάδοχον Ἰησοῦν·

6 μετὰ δὲ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον οὐ διέλιπον πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ μετὰ ὀλιγαρχίας (οἱ γὰρ ἱερεῖς προεστήκεσαν τῶν πραγμάτων), ἄχρις οὗ Πομπήιος Ῥωμαίων στρατηγὸς ἐπιστὰς τὴν μὲν Ἱερουσαλὴμ πολιορκεῖ κατὰ κράτος μιαίνει τε τὰ ἅγια μέχρι τῶν ἀδύτων τοῦ ἱεροῦ προελθών, τὸν δ' ἐκ προγόνων διαδοχῆς εἰς ἐκεῖνο τοῦ καιροῦ διαρκέσαντα βασιλέα τε ὁμοῦ καὶ ἀρχιερέα, Ἀριστόβουλος ὄνομα ἦν αὐτῷ, δέσμιον ἐπὶ Ῥώμης ἅμα τέκνοις ἐκπέμψας, Ὑρκανῷ μὲν τῷ τούτου ἀδελφῷ τὴν ἀρχιερωσύνην παρα-

Judea llevaron el nombre de Herodes, cf. A. H. M. JONES, *The Herods of Judaea* (Londres 1968); A. SCHALIT, *König Herodes:* Studia Judaica 4 (Berlin 1969).

101 Hircano II, sumo sacerdote en los años 63-40 a.C., a quien sucedió Antígono; cf. SCHUERER, I p.338ss; M. J. LAGRANGE, *Le Judaïsme avant Jésus-Christ* (Paris 1931) p.137-148.

102 Cf. Mt 24,33.

103 JOSEFO, AI 11(4,8)112; EUSEBIO, *Ecl. proph.* 155,13ss.

a su hermano Hircano. A partir de aquel momento, el pueblo judío entero quedó convertido en tributario de los romanos [104].

7 Así, pues, tan pronto como Hircano, último en quien recayó la sucesión de los sumos sacerdotes, fue llevado cautivo por los partos [105], el senado romano y el emperador Augusto pusieron la nación judía en manos de Herodes, el primer extranjero, como ya dije.

8 En su tiempo fue cuando tuvo lugar visiblemente la venida de Cristo [106] y, según la profecía, se siguió la esperada salvación y vocación de los gentiles. A partir de este tiempo, efectivamente, los príncipes y caudillos originarios de Judá, quiero decir los que procedían del pueblo judío, desaparecieron y, naturalmente, en seguida vieron perturbados también los asuntos del sumo sacerdocio, que de manera estable había ido pasando anteriormente de padres a hijos en cada generación.

9 De todo esto encontrarás un testigo importante en Josefo [107], quien explica cómo Herodes, así que los romanos le confiaron el reino, dejó de instituir ya sumos sacerdotes originarios de la antigua estirpe, antes bien, distribuyó ese honor entre gentes sin relieve. Y dice que en la institución de los sacerdotes obraron lo mismo que Herodes su hijo Arquelao y, después de éste, los romanos, cuando se hicieron cargo del gobierno de los judíos.

10 Y el mismo Josefo explica [108] cómo Herodes fue el primero

δίδωσιν, τὸ δὲ πᾶν Ἰουδαίων ἔθνος ἐξ ἐκείνου Ῥωμαίοις ὑπόφορον κατεστήσατο.

7 αὐτίκα γοῦν καὶ Ὑρκανοῦ, εἰς ὃν ὕστατον τὰ τῆς τῶν ἀρχιερέων περιέστη διαδοχῆς, ὑπὸ Πάρθων αἰχμαλώτου ληφθέντος, πρῶτος, ὡς γοῦν ἔφην, ἀλλόφυλος Ἡρῴδης ὑπὸ τῆς συγκλήτου Ῥωμαίων Αὐγούστου τε βασιλέως τὸ Ἰουδαίων ἔθνος ἐγχειρίζεται,

8 καθ' ὃν ἐναργῶς τῆς τοῦ Χριστοῦ παρουσίας ἐνστάσης, καὶ τῶν ἐθνῶν ἡ προσδοκωμένη σωτηρία τε καὶ κλῆσις ἀκολούθως τῇ προφητείᾳ παρηκολούθησεν· ἐξ οὗ δὴ χρόνου τῶν ἀπὸ Ἰούδα ἀρχόντων τε καὶ ἡγουμένων, λέγω δὲ τῶν ἐκ τοῦ Ἰουδαίων ἔθνους, διαλελοιπότων, εἰκότως αὐτοῖς καὶ τὰ τῆς ἐκ προγόνων εὐσταθῶς ἐπὶ τοὺς ἔγγιστα διαδόχους κατὰ γενεὰν προϊούσης ἀρχιερωσύνης παραχρῆμα συγχεῖται.

9 ἔχεις καὶ τούτων ἀξιόχρεων τὸν Ἰώσηπον μάρτυρα, δηλοῦντα ὡς τὴν βασιλείαν παρὰ Ῥωμαίων ἐπιτραπεὶς Ἡρῴδης οὐκέτι τοὺς ἐξ ἀρχαίου γένους καθίστησιν ἀρχιερεῖς, ἀλλά τισιν ἀσήμοις τὴν τιμὴν ἀπένεμεν· τὰ ὅμοια δὲ πρᾶξαι τῷ Ἡρῴδῃ περὶ τῆς καταστάσεως τῶν ἱερέων Ἀρχέλαόν τε τὸν παῖδα αὐτοῦ καὶ μετὰ τοῦτον Ῥωμαίους, τὴν ἀρχὴν τῶν Ἰουδαίων παρειληφότας.

10 ὁ δ' αὐτὸς δηλοῖ ὡς ἄρα καὶ τὴν ἱερὰν στολὴν τοῦ ἀρχιερέως πρῶτος Ἡρῴ-

104 JOSEFO, AI 20(10,4)244; cf. ibid., 14(4,1)54-(4,4)76; BI 1(7,6)152-(7,7)158. J. JEREMÍAS, *Jerusalén en tiempos de Jesús. Estudio económico y social del mundo del Nuevo Testamento* (Madrid 1977).

105 JOSEFO, AI 14(13,9)364-(13,10)365; 20(8,5)248.

106 Cristo nació, ciertamente, antes de la muerte de Herodes (4 a.C.), probablemente entre los años 8-6 antes de nuestra era; cf. *supra* nota 89.

107 JOSEFO, AI 20(10,5)247-249; cf. EUSEBIO, *Ecl. proph.* 160,7-21; DE 8,2,93-94.

108 JOSEFO, AI 18(4,3)92-93; cf. ibid., 15(4,11)403-404; EUSEBIO, *Ecl. proph.* 160,25-161,2; DE 8,2,95.

en encerrar bajo su propio sello las vestiduras sagradas del sumo sacerdote, no permitiendo más a los sumos sacerdotes llevarlas sobre sí, y que lo mismo hicieron su sucesor Arquelao y, después de éste, los romanos.

11 Todo lo dicho sirva también como prueba del cumplimiento de otra profecía referente a la manifestación de Jesucristo nuestro Salvador. En el libro de Daniel [109], la Escritura determina clara y expresamente un número de semanas hasta el Cristo-príncipe—acerca de lo cual hice una exposición detallada en otras obras [110]—y profetiza que, después de cumplidas estas semanas, quedaría exterminada por completo la unción entre los judíos. Ahora bien, claramente se demuestra que también esto se cumplió con ocasión del nacimiento de nuestro Salvador Jesucristo.

Vaya por delante lo dicho como exposición necesaria para la verdad de las fechas.

7

[De la supuesta discrepancia de los Evangelios acerca de la genealogía de Cristo]

1 Puesto que, al escribir sus evangelios, Mateo y Lucas nos han transmitido [111] genealogías diferentes acerca de Cristo y a muchos les parece que discrepan, y como cada creyente, por ignorancia de la verdad, se ha esforzado en inventar sobre esos pasajes, vamos a aducir las consideraciones sobre este tema llegadas a nosotros y que Africano, mencionado poco ha [112], recuerda en carta

δης ἀποκλείσας ὑπὸ ἰδίαν σφραγῖδα πεποίηται, μηκέτ' αὐτὴν τοῖς ἀρχιερεῦσιν ἔχειν ὑφ' ἑαυτοὺς ἐπιτρέψας· ταὐτὸν δὲ καὶ τὸν μετ' αὐτὸν 'Αρχέλαον καὶ μετὰ τοῦτον 'Ρωμαίους διαπράξασθαι.

11 καὶ ταῦτα δ' ἡμῖν εἰρήσθω εἰς ἑτέρας ἀπόδειξιν προφητείας κατὰ τὴν ἐπιφάνειαν τοῦ σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ πεπερασμένης. σαφέστατα γοῦν ἐν τῷ Δανιὴλ ἑβδομάδων τινῶν ἀριθμὸν ὀνομαστὶ ἕως Χριστοῦ ἡγουμένου περιλαβὼν ὁ λόγος, περὶ ὧν ἐν ἑτέροις διειλήφαμεν, μετὰ τὸ τούτων συμπέρασμα ἐξολοθρευθήσεσθαι τὸ παρὰ 'Ιουδαίοις χρῖσμα προφητεύει· καὶ τοῦτο δὲ σαφῶς κατὰ τὸν καιρὸν τῆς τοῦ σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ γενέσεως ἀποδείκνυται συμπεπληρωμένον. ταῦτα δ' ἡμῖν ἀναγκαίως εἰς παράστασιν τῆς τῶν χρόνων ἀληθείας προτετηρήσθω.

Z'

1 'Επειδὴ δὲ τὴν περὶ τοῦ Χριστοῦ γενεαλογίαν διαφόρως ἡμῖν ὅ τε Ματθαῖος καὶ ὁ Λουκᾶς εὐαγγελιζόμενοι παραδεδώκασι διαφωνεῖν τε νομίζονται τοῖς πολλοῖς τῶν τε πιστῶν ἕκαστος ἀγνοίᾳ τἀληθοῦς εὑρησιλογεῖν εἰς τοὺς τόπους πεφιλοτίμηται, φέρε, καὶ τὴν περὶ τούτων κατελθοῦσαν εἰς ἡμᾶς ἱστορίαν παραθώμεθα, ἣν δι' ἐπιστολῆς 'Αριστείδῃ γράφων περὶ συμφωνίας τῆς ἐν τοῖς εὐαγγελίοις γενεαλογίας

[109] Dan 9,24-27.
[110] *Ecl. proph.* 153,12-165; DE 8,2,35-129, pero posterior.
[111] Mt 1,1-17; Lc 3,23-38.
[112] Cf. *supra* 6,2.

a Arístides[113] acerca de la concordancia de la genealogía en los evangelios. Refuta las opiniones de los demás por forzadas y mentirosas, y expone el parecer que él ha recibido[114], en estos mismos términos:

2 «Porque, efectivamente, en Israel los nombres de las familias se enumeraban, o bien según la naturaleza, o bien según la ley. Según la naturaleza, por sucesión de nacimiento legítimo; según la ley[115], cuando uno moría sin hijos y su hermano los engendraba para conservar su nombre (la razón es que aún no se había dado una esperanza clara de resurrección, y remedaban la prometida resurrección futura con una resurrección mortal, con el fin de que se perpetuara el nombre del difunto).

3 »Como quiera, pues, que los incluidos en esta genealogía unos se sucedieron por vía natural de padres a hijos, y los otros, aunque engendrados por unos, recibían el nombre de otros, de ambos grupos se hace memoria: de los que fueron engendrados y de los que pasaron por serlo.

4 »De este modo, ninguno de los dos evangelios engaña: enumeran según la naturaleza y según la ley. Efectivamente, dos familias, que descendían de Salomón y de Natán respectivamente, estaban mutuamente entrelazadas a causa de las resurrecciones de los que habían muerto sin hijos, de las segundas nupcias y de la resurrección de descendencia, de suerte que es justo considerar a

ὁ μικρῷ πρόσθεν ἡμῖν δηλωθεὶς Ἀφρικανὸς ἐμνημόνευσεν, τὰς μὲν δὴ τῶν λοιπῶν δόξας ὡς ἂν βιαίους καὶ διεψευσμένας ἀπελέγξας, ἣν δ' αὐτὸς παρείληφεν ἱστορίαν, τούτοις αὐτοῖς ἐκτιθέμενος τοῖς ῥήμασιν·

2 «Ἐπειδὴ γὰρ τὰ ὀνόματα τῶν γενῶν ἐν Ἰσραὴλ ἠριθμεῖτο ἢ φύσει ἢ νόμῳ, φύσει μέν, γνησίου σπέρματος διαδοχῇ, νόμῳ δέ, ἑτέρου παιδοποιουμένου εἰς ὄνομα τελευτήσαντος ἀδελφοῦ ἀτέκνου (ὅτι γὰρ οὐδέπω δέδοτο ἐλπὶς ἀναστάσεως σαφής, τὴν μέλλουσαν ἐπαγγελίαν ἀναστάσει ἐμιμοῦντο θνητῇ, ἵνα ἀνέκλειπτον τὸ ὄνομα μείνῃ τοῦ μετηλλαχότος)·

3 »ἐπεὶ οὖν οἱ τῇ γενεαλογίᾳ ταύτῃ ἐμφερόμενοι, οἳ μὲν διεδέξαντο παῖς πατέρα γνησίως, οἳ δὲ ἑτέροις μὲν ἐγεννήθησαν, ἑτέροις δὲ προσετέθησαν κλήσει, ἀμφοτέρων γέγονεν ἡ μνήμη, καὶ τῶν γεγεννηκότων καὶ τῶν ὡς γεγεννηκότων.

4 »οὕτως οὐδέτερον τῶν εὐαγγελίων ψεύδεται, καὶ φύσιν ἀριθμοῦν καὶ νόμον· ἐπεπλάκη γὰρ ἀλλήλοις τὰ γένη, τό τε ἀπὸ τοῦ Σολομῶνος καὶ τὸ ἀπὸ τοῦ Ναθαν, ἀναστάσεσιν ἀτέκνων καὶ δευτερογαμίαις καὶ ἀναστάσει σπερμάτων, ὡς δικαίως τοὺς αὐτοὺς ἄλλοτε ἄλλων νομίζεσθαι, τῶν μὲν δοκούντων πατέρων, τῶν δὲ ὑπαρχόντων·

113 De su carta a Arístides quedan solamente fragmentos (cf. Eusebio, *Quaest. ad Steph:* PG 22,900s), editados críticamente por W. Reichardt (*Die Briefe des Sextus Julius Africanus an Aristides und Origenes:* TU 34,3, Leipzig 1909). De Arístides no se sabe más.

114 Eusebio da a entender aquí que Africano (cf. *infra* VI 31) ha recogido su explicación de alguna otra parte. Para Lawlor (2 p.53), la toma de los «desposynoi». Para A. Schalit (*Die frühchristliche Ueberlieferung über die Herkunft der Familie des Herodes. Ein Beitrag zur Geschichte der politischen Invektive in Judäa:* Annual of the Swedish Theological Institute 1 [1962] 109-160), por lo menos el relato del párrafo 11 (cf. San Justino, *Dial.* 52,3-4), traduce una tradición judía, que se explica por la lucha de los partidos en Judea en la época del segundo templo, recogida por los cristianos—sin duda a través de los «desposynoi»—en su odio contra el asesino de los niños de Belén. Africano se hace aquí su portavoz; cf. M. J. Lagrange, o.c., p.167.

115 Cf. Gén 38,8; Dt 25,5-6; Lc 20,28.

unos mismos individuos en diferentes ocasiones hijos de diferentes padres, de los ficticios o de los verdaderos, y también que ambas genealogías son estrictamente verdaderas y llegan hasta José por caminos complicados, pero exactos.

5 »Mas, para que lo dicho resulte claro, voy a explicar la transposición de los linajes. Quien va enumerando las generaciones a partir de David y a través de Salomón se encuentra con que el tercero por el final es Matán, el cual engendró a Jacob, padre de José [116]. Mas, partiendo de Natán, hijo de David, según Lucas [117], también el tercero por el final es Melquí, pues José era hijo de Helí, hijo de Melquí.

6 »Por lo tanto, siendo José nuestro punto de atención, hay que demostrar cómo es que se nos presenta como padre suyo a uno y a otro: a Jacob, que trae su linaje de Salomón, y a Helí, que desciende de Natán; y de qué modo, en primer lugar los dos, Jacob y Helí, son hermanos; y aun antes, cómo es que los padres de éstos, Matán y Melquí, siendo de linajes diferentes, aparecen como abuelos de José.

7 »Y es que Matán y Melquí se casaron sucesivamente con la misma mujer y procrearon hijos, hijos de una misma madre, pues la ley no impedía que una mujer sin marido—porque éste la había repudiado o porque había muerto—se casara con otro.

8 »Pues bien, de Esta (que así es tradición que se llamaba la mujer), Matán, el descendiente de Salomón, fue el primero en engendrar a Jacob; muerto Matán, se casa con su viuda Melquí, cuya

ὡς ἀμφοτέρας τὰς διηγήσεις κυρίως ἀληθεῖς οὔσας ἐπὶ τὸν Ἰωσὴφ πολυπλόκως μέν, ἀλλ' ἀκριβῶς κατελθεῖν.

5 »ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, τὴν ἐναλλαγὴν τῶν γενῶν διηγήσομαι. ἀπὸ τοῦ Δαυὶδ διὰ Σολομῶνος τὰς γενεὰς καταριθμουμένοις τρίτος ἀπὸ τέλους εὑρίσκεται Ματθαν, ὃς ἐγέννησε τὸν Ἰακώβ, τοῦ Ἰωσὴφ τὸν πατέρα· ἀπὸ δὲ Ναθαν τοῦ Δαυὶδ κατὰ Λουκᾶν ὁμοίως τρίτος ἀπὸ τέλους Μελχι· Ἰωσὴφ γὰρ υἱὸς Ἡλι τοῦ Μελχι.

6 »σκοποῦ τοίνυν ἡμῖν κειμένου τοῦ Ἰωσήφ, ἀποδεικτέον πῶς ἑκάτερος αὐτοῦ πατὴρ ἱστορεῖται, ὅ τε Ἰακὼβ ὁ ἀπὸ Σολομῶνος καὶ Ἡλι ὁ ἀπὸ τοῦ Ναθαν ἑκάτερος κατάγοντες γένος, ὅπως τε πρότερον οὗτοι δή, ὅ τε Ἰακὼβ καὶ ὁ Ἡλι, δύο ἀδελφοί, καὶ πρό γε, πῶς οἱ τούτων πατέρες, Ματθαν καὶ Μελχι, διαφόρων ὄντες γενῶν, τοῦ Ἰωσὴφ ἀναφαίνονται πάπποι.

7 »καὶ δὴ οὖν ὅ τε Ματθαν καὶ ὁ Μελχι, ἐν μέρει τὴν αὐτὴν ἀγαγόμενοι γυναῖκα, ὁμομητρίους ἀδελφοὺς ἐπαιδοποιήσαντο, τοῦ νόμου μὴ κωλύοντος χηρεύουσαν, ἤτοι ἀπολελυμένην ἢ καὶ τελευτήσαντος τοῦ ἀνδρός, ἄλλῳ γαμεῖσθαι·

8 »ἐκ δὴ τῆς Ἐσθα (τοῦτο γὰρ καλεῖσθαι τὴν γυναῖκα παραδέδοται) πρῶτος Ματθαν, ὁ ἀπὸ τοῦ Σολομῶνος τὸ γένος κατάγων, τὸν Ἰακὼβ γεννᾷ, καὶ τελευτήσαντος τοῦ Ματθαν Μελχι, ὁ ἐπὶ τὸν Ναθαν κατὰ γένος ἀναφερόμενος, χηρεύουσαν, ἐκ μὲν τῆς αὐτῆς φυλῆς, ἐξ

116 Mt 1,15-16.
117 Lc 3,23-24. En este pasaje, lo mismo que *infra* § 10, Africano comete un error: Melquí ocupa en Lucas el quinto lugar.

ascendencia remontaba a Natán y que, siendo, como dijimos antes, de la misma tribu, era de otra familia. Este tuvo un hijo: Helí.

9 »Y así nos encontramos con que, siendo sus dos linajes diferentes, Jacob y Helí son hermanos de madre. Muerto Helí sin hijos, su hermano Jacob se casó con su mujer, y de ella tuvo un tercer hijo, José, el cual, según la naturaleza, era suyo (y según el texto, pues por eso está escrito: *Jacob engendró a José* [118]), pero, según la ley, era hijo de Helí, ya que Jacob, por ser hermano suyo, le suscitó descendencia.

10 »Por lo cual no se quitará autoridad a su genealogía. Al hacer la enumeración, el evangelista Mateo dice: *Jacob engendró a José* [119]; pero Lucas procede al revés: *El cual era, según se creía* (porque también añade esto), *hijo de José, que lo fue de Helí, hijo de Melquí* [120]. No era posible expresar más certeramente el nacimiento según la ley: va remontando uno por uno hasta *Adán, que fue de Dios* [121], y hasta el final se calla el «engendró», para no aplicarlo a esta clase de paternidad.

11 »Y es que esto no va sin pruebas ni es improvisado. En efecto, los parientes carnales del Salvador, bien por aparentar o bien, simplemente, por enseñar, pero siendo veraces en todo, transmitieron también lo que sigue. Unos ladrones idumeos asaltaron Ascalón, ciudad de Palestina; de un templo de Apolo, que estaba construido delante de los muros, se llevaron cautivo, además de los otros despojos, a Antípatro, hijo de cierto *hieródulo* llamado Hero-

*ἄλλου δὲ γένους ὤν, ὡς προεῖπον, ἀγαγό*μενος αὐτήν, ἔσχεν υἱὸν τὸν Ἡλι.

9 »οὕτω δὴ διαφόρων δύο γενῶν εὑρήσομεν τόν τε Ἰακὼβ καὶ τὸν Ἡλι ὁμομητρίους ἀδελφούς, ὧν ὁ ἕτερος, Ἰακώβ, ἀτέκνου τοῦ ἀδελφοῦ τελευτήσαντος Ἡλι, τὴν γυναῖκα παραλαβών, ἐγέννησεν ἐξ αὐτῆς τρίτον τὸν Ἰωσήφ, κατὰ φύσιν μὲν ἑαυτῷ (καὶ κατὰ λόγον, δι' ὃ γέγραπται ‹Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσήφ›), κατὰ νόμον δὲ τοῦ Ἡλι υἱὸς ἦν· ἐκείνῳ γὰρ ὁ Ἰακώβ, ἀδελφὸς ὤν, ἀνέστησεν σπέρμα. δι' ὅπερ οὐκ ἀκυρωθήσεται καὶ ἡ κατ' αὐτὸν γενεαλογία·

10 »ἣν Ματθαῖος μὲν ὁ εὐαγγελιστὴς ἐξαριθμούμενος ‹Ἰακὼβ δέ› φησίν ‹ἐγέννησεν τὸν Ἰωσήφ›, ὁ δὲ Λουκᾶς ἀνάπαλιν ‹ὃς ἦν, ὡς ἐνομίζετο (καὶ γὰρ καὶ τοῦτο προστίθησιν) τοῦ Ἰωσὴφ τοῦ Ἡλι τοῦ Μελχι›. τὴν γὰρ κατὰ νόμον γένεσιν ἐπισημότερον οὐκ ἦν ἐξειπεῖν, καὶ τὸ ‹ἐγέννησεν› ἐπὶ τῆς τοιᾶσδε παιδοποιίας ἄχρι τέλους ἐσιώπησεν, τὴν ἀναφορὰν ποιησάμενος ἕως ‹τοῦ Ἀδὰμ τοῦ θεοῦ› κατ' ἀνάλυσιν.

11 »οὐδὲ μὴν ἀναπόδεικτον ἢ ἐσχεδιασμένον ἐστὶν τοῦτο. τοῦ γοῦν σωτῆρος οἱ κατὰ σάρκα συγγενεῖς, εἴτ' οὖν φανητιῶντες εἴθ' ἁπλῶς ἐκδιδάσκοντες, πάντως δὲ ἀληθεύοντες, παρέδοσαν καὶ ταῦτα· ὡς Ἰδουμαῖοι λησταὶ Ἀσκάλωνι πόλει τῆς Παλαιστίνης ἐπελθόντες, ἐξ εἰδωλείου Ἀπόλλωνος, ὃ πρὸς τοῖς τείχεσιν ἵδρυτο, Ἀντίπατρον Ἡρῴδου τινὸς ἱεροδούλου παῖδα πρὸς τοῖς ἄλλοις σύλοις αἰχμάλωτον ἀπῆγον, τῷ δὲ λύτρα ὑπὲρ τοῦ υἱοῦ καταθέσθαι μὴ δύνασθαι τὸν ἱερέα ὁ Ἀντίπατρος τοῖς τῶν Ἰδουμαίων

[118] Mt 1,16.
[119] Mt 1,16.
[120] Lc 3,23-24.
[121] Lc 3,38.

des. No pudiendo el sacerdote pagar un rescate por su hijo, Antípatro fue educado en las costumbres de los idumeos, y más tarde trabó amistad con Hircano, el sumo sacerdote de Judea [122].

12 »Fue luego embajador cerca de Pompeyo en favor de Hircano, para el que sacó libre el reino devastado por su hermano Aristóbulo; y él mismo prosperó mucho, pues logró el título de *epimeletés* de Palestina [123]. A Antípatro, asesinado por envidia de su mucha y buena fortuna, le sucedió su hijo Herodes, que más tarde, por decisión de Antonio y Augusto y por decreto senatorial, reinará sobre los judíos. De él fueron hijos Herodes y los otros tetrarcas. Todos estos datos coinciden con las historias de los griegos [124].

13 »Además, hallándose inscritas hasta entonces en los archivos las familias hebreas, incluso las que se remontaban a prosélitos, como Aquior [125] el ammonita, Rut [126] la moabita y los que salieron de Egipto mezclados con los hebreos [127], Herodes, porque en nada le tocaba la raza de los israelitas y herido por la conciencia de su bajo nacimiento, hizo quemar los registros de sus linajes [128], creyendo que aparecería como noble por el hecho de que tampoco otros podrían hacer remontar su linaje, apoyados en documentos públicos, a los patriarcas o a los prosélitos o a los llamados «geyoras», los extranjeros [129] mezclados.

ἔθεσιν ἐντραφείς, ὕστερον Ὑρκανῷ φιλοῦται τῷ τῆς Ἰουδαίας ἀρχιερεῖ·

12 »πρεσβεύσας δὲ πρὸς Πομπήιον ὑπὲρ τοῦ Ὑρκανοῦ καὶ τὴν βασιλείαν ἐλευθερώσας αὐτῷ ὑπὸ Ἀριστοβούλου τοῦ ἀδελφοῦ περικοπτομένην, αὐτὸς ηὐτύχησεν, ἐπιμελητὴς τῆς Παλαιστίνης χρηματίσας· διαδέχεται δὲ τὸν Ἀντίπατρον, φθόνῳ τῆς πολλῆς εὐτυχίας δολοφονηθέντα, υἱὸς Ἡρῴδης, ὃς ὕστερον ὑπ' Ἀντωνίου καὶ τοῦ Σεβαστοῦ συγκλήτου δόγματι τῶν Ἰουδαίων ἐκρίθη βασιλεύειν· οὗ παῖδες Ἡρῴδης οἵ τ' ἄλλοι τετράρχαι. ταῦτα μὲν δὴ κοινὰ καὶ ταῖς Ἑλλήνων ἱστορίαις·

13 »ἀναγράπτων δὲ εἰς τότε ἐν τοῖς ἀρχείοις ὄντων τῶν Ἑβραϊκῶν γενῶν καὶ τῶν ἄχρι προσηλύτων ἀναφερομένων, ὡς Ἀχιὼρ τοῦ Ἀμμανίτου καὶ Ῥοὺθ τῆς Μωαβίτιδος τῶν τε ἀπ' Αἰγύπτου συνεκπεσόντων ἐπιμίκτων, ὁ Ἡρῴδης, οὐδέν τι συμβαλλομένου τοῦ τῶν Ἰσραηλιτῶν γένους αὐτῷ καὶ τῷ συνειδότι τῆς δυσγενείας κρουόμενος, ἐνέπρησεν αὐτῶν τὰς ἀναγραφὰς τῶν γενῶν, οἰόμενος εὐγενὴς ἀναφανεῖσθαι τῷ μηδ' ἄλλον ἔχειν ἐκ δημοσίου συγγραφῆς τὸ γένος ἀνάγειν ἐπὶ τοὺς πατριάρχας ἢ προσηλύτους τούς τε καλουμένους γειώρας, τοὺς ἐπιμίκτους.

122 Los informes de Flavio Josefo (AI 14[1,3]10) sobre el tema de este párrafo 11 difieren de la tradición recogida por Africano y San Justino (*Dial* 52,3-4); cf. *supra* nota 114. Es más segura la autoridad de Josefo. Cf. SCHUERER, 1 p.292 nota 3.

123 El mismo título se encuentra en JOSEFO, AI 14(8,1)127-(8,3)139. Schuerer (1 p.343 nota 14) asimila sus funciones a las de un procurador, quizás no sólo militares, sino también administrativas.

124 Lo mismo puede aludir a Nicolás de Damasco que a Tolomeo de Ascalón; cf. M. J. LAGRANGE, *Le Judaïsme avant Jésus-Christ* (Paris 1931) p. 164-65.

125 Jdt 5,5; 14,10.

126 Rut 1,16-22; 2,2; 4,19-22.

127 Ex 12,38; Dt 23,8.

128 Quedaron, sin embargo, algunos registros públicos, según resulta de la autobiografía de F. Josefo (*De vita sua* 1,6).

129 Para Schwartz, las palabras ἢ προσηλύτους y τοὺς ἐπιμίκτους son, seguramente,

14 »En realidad, unos pocos, cuidadosos, que tenían para sí registros privados o que se acordaban de los nombres o los habían copiado, se gloriaban de tener a salvo la memoria de su nobleza. Ocurrió que de éstos eran los que dijimos antes[130], llamados *despósinoi* por causa de su parentesco con la familia del Salvador[131] y que, desde las aldeas judías de Nazaret y Cocaba, visitaron el resto del país y explicaron la precedente genealogía, comenzando por el *Libro de los días*, hasta donde alcanzaron[132].

15 »Fuera así o fuera de otra manera, nadie podría hallar una explicación más clara. Yo al menos esto pienso, y lo mismo todo el que tiene buenas disposiciones. Aunque no esté atestiguada, ocupémonos de ella, porque no es posible exponer otra mejor y más clara[133]. En todo caso, el Evangelio dice enteramente la verdad».

16 Y al final de la misma carta añade lo siguiente:

«Matán, del linaje de Salomón, engendró a Jacob. Muerto Matán, Melquí, el del linaje de Natán, engendró de la misma mujer a Helí. Por lo tanto, Helí y Jacob son hermanos uterinos. Muerto Helí sin hijos, Jacob le suscitó descendencia engendrando a José, hijo suyo según la naturaleza, pero de Helí según la ley. Así es como José era hijo de ambos»[134].

Así Africano.

14 »ὀλίγοι δή τῶν ἐπιμελῶν ἰδιωτικὰς ἑαυτοῖς ἀπογραφὰς ἢ μνημονεύσαντες τῶν ὀνομάτων ἢ ἄλλως ἔχοντες ἐξ ἀντιγράφων, ἐναβρύνονται σῳζομένῃ τῇ μνήμῃ τῆς εὐγενείας· ὧν ἐτύγχανον οἱ προειρημένοι, δεσπόσυνοι καλούμενοι διὰ τὴν πρὸς τὸ σωτήριον γένος συνάφειαν ἀπό τε Ναζάρων καὶ Κωχαβα κωμῶν Ἰουδαϊκῶν τῇ λοιπῇ γῇ ἐπιφοιτήσαντες καὶ τὴν προκειμένην γενεαλογίαν ἔκ τε τῆς Βίβλου τῶν ἡμερῶν, ἐς ὅσον ἐξικνοῦντο, ἐξηγησάμενοι.

15 »εἴτ' οὖν οὕτως εἴτ' ἄλλως ἔχοι, σαφεστέραν ἐξήγησιν οὐκ ἂν ἔχοι τις ἄλλος ἐξευρεῖν, ὡς ἔγωγε νομίζω πᾶς τε ὃς εὐγνώμων τυγχάνει, καὶ ἡμῖν αὕτη μελέτω, εἰ καὶ ἀμάρτυρός ἐστιν, τῷ μὴ κρείττονα ἢ ἀληθεστέραν ἔχειν εἰπεῖν· τό γέ τοι εὐαγγέλιον πάντως ἀληθεύει».

16 καὶ ἐπὶ τέλει δὲ τῆς αὐτῆς ἐπιστολῆς προστίθησι ταῦτα·

«Ματθαν ὁ ἀπὸ Σολομῶνος ἐγέννησε τὸν Ἰακώβ. Ματθαν ἀποθανόντος, Μελχι ὁ ἀπὸ Ναθαν ἐκ τῆς αὐτῆς γυναικὸς ἐγέννησε τὸν Ἡλι. ὁμομήτριοι ἄρα ἀδελφοὶ Ἡλι καὶ Ἰακώβ. Ἡλι ἀτέκνου ἀποθανόντος ὁ Ἰακώβ ἀνέστησεν αὐτῷ σπέρμα, γεννήσας τὸν Ἰωσήφ, κατὰ φύσιν μὲν ἑαυτῷ, κατὰ νόμον δὲ τῷ Ἡλι. οὕτως ἀμφοτέρων ἦν υἱὸς ὁ Ἰωσήφ».

interpolaciones anteriores a Eusebio. Con la palabra γειώρας, Africano transcribe el término *ger* en el sentido que toma en Ex 12,38 aludido arriba: muchedumbre en mezcolanza, naturalmente de extranjeros y hebreos; cf. Ex 12,19 e Is 14,1.

130 Cf. *supra*, pár.11.

131 Sobre estos parientes del Señor y su actividad, cf. M. J. LAGRANGE, *L'Évangile selon Saint Marc* (Paris [4]1929) p.79-93; M. SIMON, o.c., p. 303-314.

132 El texto utilizado por Eusebio acusa una laguna en que se indicaba sin duda la otra fuente de las explicaciones, además del *Libro de los días*; éste bien pudiera ser el de los *Paralipómenos*, cuyos primeros capítulos son sólo genealógicos.

133 Julio Africano parece rechazar el testimonio de los «desposynoi» y admitir su explicación sólo como mera hipótesis a falta de algo mejor. En todo caso apela y se atiene a la verdad del Evangelio.

134 Cf. EUSEBIO, *Quaest. ad Steph.* 4.

17 Establecida la genealogía de José de esta manera, también María aparece junto con él, por fuerza, como siendo de la misma tribu, ya que, al menos según la ley de Moisés, no estaba permitido mezclarse con las otras tribus [135], pues se prescribe el unirse en matrimonio con uno del mismo pueblo y de la misma tribu, con el fin de que la herencia familiar no rodara de tribu en tribu. Baste así con lo dicho.

8

[DEL INFANTICIDIO PERPETRADO POR HERODES Y DEL FINAL CATASTRÓFICO DE SU VIDA]

1 Nacido Cristo en Belén de Judá, conforme a las profecías [136] en el tiempo mencionado, Herodes, ante la pregunta de los magos venidos de Oriente que querían enterarse en dónde se hallaba el nacido rey de los judíos—porque habían visto su estrella, y el motivo de su viaje tan largo había sido su empeño de adorar como a Dios al nacido—, turbado no poco por el asunto como si estuviera en peligro su soberanía—al menos esto era lo que él pensaba realmente—, después de informarse de los doctores de la ley entre el pueblo dónde esperaban que había de nacer el Cristo, tan pronto como supo que la profecía de Miqueas predecía que en Belén, ordenó mediante un edicto matar a los niños de pecho de Belén y de todos sus aledaños, de dos años para abajo, según el tiempo exacto que le indicaron los magos, pensando que también Jesús, como era natural, co-

17 τοσαῦτα ὁ Ἀφρικανός. καὶ δὴ τοῦ Ἰωσὴφ ὧδέ πως γενεαλογουμένου, δυνάμει καὶ ἡ Μαρία σὺν αὐτῷ πέφηνεν ἐκ τῆς αὐτῆς οὖσα φυλῆς, εἴ γε κατὰ τὸν Μωυσέως νόμον οὐκ ἐξῆν ἑτέραις ἐπιμίγνυσθαι φυλαῖς· ἑνὶ γὰρ τῶν ἐκ τοῦ αὐτοῦ δήμου καὶ πατριᾶς τῆς αὐτῆς ζεύγνυσθαι πρὸς γάμον παρακελεύεται, ὡς ἂν μὴ περιστρέφοιτο τοῦ γένους ὁ κλῆρος ἀπὸ φυλῆς ἐπὶ φυλήν. ὧδὶ μὲν οὖν καὶ ταῦτα ἐχέτω·

H'

1 ἀλλὰ γὰρ τοῦ Χριστοῦ γεννηθέντος ταῖς προφητείαις ἀκολούθως ἐν Βηθλεεμ τῆς Ἰουδαίας κατὰ τοὺς δεδηλωμένους χρόνους, Ἡρῴδης ἐπὶ τῇ τῶν ἐξ ἀνατολῆς μάγων ἀνερωτήσει ὅπῃ εἴη διαπυνθανομένων ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων, ἑορακέναι γὰρ αὐτοῦ τὸν ἀστέρα καὶ τῆς τοσῆσδε πορείας τοῦτ' αἴτιον αὐτοῖς γεγονέναι, οἷα θεῷ προσκυνῆσαι τῷ τεχθέντι διὰ σπουδῆς πεποιημένοις, οὐ σμικρῶς ἐπὶ τῷ πράγματι, ἅτε κινδυνευούσης, ὥς γε δὴ ᾤετο, αὐτῷ τῆς ἀρχῆς, διακινηθείς, πυθόμενος τῶν παρὰ τῷ ἔθνει νομοδιδασκάλων ποῦ τὸν Χριστὸν γεννηθήσεσθαι προσδοκῷεν, ὡς ἔγνω τὴν Μιχαίου προφητείαν ἐν Βηθλεεμ προαναφωνοῦσαν, ἑνὶ προστάγματι τοὺς ὑπομαζίους ἔν τε τῇ Βηθλεεμ καὶ πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω παῖδας, κατὰ τὸν ἀπηκριβωμένον αὐτῷ χρόνον παρὰ τῶν μάγων, ἀναιρεθῆναι προστάτ-

[135] Núm 36,8-9; cf. EUSEBIO, *Quaest. ad Steph.* 1,7.
[136] Miq 5,1; Mt 2,5-6.

rrería de todas maneras la misma suerte que los otros niños de su edad.

2 Pero el niño, llevado a Egipto, se adelantó a la conjura: un ángel se apareció a sus padres indicándoles de antemano lo que iba a suceder. Esto es lo que nos enseña la Sagrada Escritura del Evangelio [137].

3 Pero, además de eso, es conveniente echar una mirada a la recompensa del atrevimiento de Herodes contra Cristo y los niños de su edad. Inmediatamente después, sin que mediara la menor demora, la justicia divina le persiguió cuando aún rebosaba de vida y le mostró el preludio de cuanto le aguardaba para después de su marcha de acá.

4 No es posible ahora reseñar las sucesivas calamidades domésticas con que anubló la supuesta prosperidad de su reino: los asesinatos de su mujer, de sus hijos y de otras personas muy allegadas a la familia por parentesco y por amistad. Lo que acerca de ello pueda suponerse deja en la sombra a toda representación trágica. Josefo lo explica prolijamente en sus relatos históricos [138].

5 Pero sobre cómo ya desde el momento en que conspiró contra nuestro Salvador y contra los demás niños un flagelo divino lo arrebató y puso a morir, bueno será escuchar las palabras mismas del escritor, que, en el libro XVII de sus *Antigüedades judías*, escribió el final catastrófico de la vida de Herodes como sigue:

τει, πάντως που καὶ τὸν Ἰησοῦν, ὥς γε ἦν εἰκός, τῆς αὐτῆς τοῖς ὁμήλιξι συναπολαῦσαι συμφορᾶς οἰόμενος.

2 φθάνει γε μὴν τὴν ἐπιβουλὴν εἰς Αἴγυπτον διακομισθεὶς ὁ παῖς, δι' ἐπιφανείας ἀγγέλου τὸ μέλλον προμεμαθηκότων αὐτοῦ τῶν γονέων. ταῦτα μὲν οὖν καὶ ἡ ἱερὰ τοῦ εὐαγγελίου διδάσκει γραφή·

3 ἄξιον δ' ἐπὶ τούτοις συνιδεῖν τἀπίχειρα τῆς Ἡρῴδου κατὰ τοῦ Χριστοῦ καὶ τῶν ὁμηλίκων αὐτῷ τόλμης, ὡς παραυτίκα, μηδὲ σμικρᾶς ἀναβολῆς γεγενημένης, ἡ θεία δίκη περιόντα ἔτ' αὐτὸν τῷ βίῳ μετελήλυθεν, τὰ τῶν μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν διαδεξομένων αὐτὸν ἐπιδεικνῦσα προοίμια.

4 ὡς μὲν οὖν τὰς κατὰ τὴν βασιλείαν αὐτῷ νομισθείσας εὐπραγίας ταῖς κατὰ τὸν οἶκον ἐπαλλήλοις ἠμαύρωσεν συμφοραῖς, γυναικὸς καὶ τέκνων καὶ τῶν λοιπῶν τῶν μάλιστα πρὸς γένους ἀναγκαιοτάτων τε καὶ φιλτάτων μιαιφονίαις, οὐδὲ οἷόν τε νῦν καταλέγειν, τραγικὴν ἅπασαν δραματουργίαν ἐπισκιαζούσης τῆς περὶ τούτων ὑποθέσεως, ἣν εἰς πλάτος ἐν ταῖς κατ' αὐτὸν ἱστορίαις ὁ Ἰώσηπος διελήλυθεν.

5 ὡς δ' ἅμα τῇ κατὰ τοῦ σωτῆρος ἡμῶν καὶ τῶν ἄλλων νηπίων ἐπιβουλῇ θεήλατος αὐτὸν καταλαβοῦσα μάστιξ εἰς θάνατον συνήλασεν, οὐ χεῖρον καὶ τῶν φωνῶν τοῦ συγγραφέως ἐπακοῦσαι, κατὰ λέξιν ἐν ἑπτακαιδεκάτῳ τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας τὴν καταστροφὴν τοῦ κατ' αὐτὸν βίου τοῦτον γράφοντος τὸν τρόπον·

137 Mt 2,1-7.16.13-15.

138 Josefo, AI 15 (3,5) 65ss; (3,9) 85; (6,1) 161ss; (7,1) 202ss; (7,7) 240; 16 (11,1) 356ss; (11,6) 387ss; BI 1 (22,5) 443ss; (27,6) 550ss. Efectivamente, el año 29 a.C. mataba Herodes a su segunda mujer, Mariana; el año 7, a los dos hijos que tuvo de ella, Alejandro y Aristóbulo, y sólo cinco días antes de su muerte, el año 4 a.C., a Antípatro, hijo de su primera mujer, Doris.

«A Herodes la enfermedad se le iba haciendo más y más virulenta. Dios vengaba sus crímenes.

6 »En efecto, era un fuego suave que no denunciaba al tacto de los que le palpaban un abrasamiento como el que por dentro iba acrecentando su corrupción; y luego un ansia terrible de tomar algo, sin que nada pudiera servirle, ulceración y atroces dolores en los intestinos, y sobre todo en el colon, con hinchazón húmeda y reluciente en los pies.

7 »En torno al bajo vientre tenía una infección parecida; más aún, sus partes pudendas estaban podridas y criaban gusanos. Su respiración era de una rigidez aguda y en exceso desagradable por la carga de supuración y por su fuerte asma; en todos sus miembros sufría espasmos de una fuerza insoportable.

8 »Lo cierto es que los adivinos y quienes tienen saber para predecir estas cosas decían que Dios se estaba haciendo pagar las muchas impiedades del rey» [139].

Esto es lo que el autor antedicho anota en la obra mencionada.

9 Y en el libro segundo [140] de sus relatos históricos nos da una tradición parecida acerca del mismo, escribiendo así:

[194] El párrafo 9 lo darán sólo los mss. ERBD; los demás lo omiten; en LS parece interpolación.
[195] Cf. Jn 20,29.
[196] Cf. Resch, *Agrapha* n.103; Is 6,9-10; Mt 13,14-17; Jn 12,39-41; Act 28,26-27.
[197] Cf. Act 1,2ss; Jn 16,5.
[198] Esta aclaración, que no está en el siríaco, seguramente es interpolación del traductor griego. En la tradición siríaca, Tomás el Mellizo aparece casi siempre como Judas Tomás (cf. Hennecke, 2 p.298). La insistencia en su título de apóstol de Jesús deja traslucir bien claramente las intenciones del autor siríaco.
[199] Mt 4,23; 9,35; 10,1.
[200] Cf. Mt 21,15; Mc 5,20.

y maravillas que obraba y de que también curaba, entró en sospechas de si sería éste el mismo del cual Jesús le hablaba en la carta, allí donde decía: Cuando yo haya subido, te mandaré alguno de mis discípulos, que sanará tu dolencia.

13 »Hizo, pues, llamar a Tobías, en cuya casa se hospedaba, y le dijo: He oído decir que ha venido cierto hombre poderoso y que se aloja en tu casa. Tráemelo. Se fue Tobías a estar con Tadeo y le dijo: El toparca Abgaro me mandó llamar y me dijo que te llevara hasta él para que le cures; y Tadeo le respondió: Subiré, puesto que he sido enviado a él con poder.

14 »Al día siguiente, Tobías madrugó y, tomando consigo a Tadeo, se fue ante Abgaro. Entró Tadeo, estando allí presentes de pie los magnates del rey, y al instante de hacer él su entrada, una gran visión se le apareció a Abgaro en el rostro del apóstol Tadeo. Al verla, Abgaro se prosternó ante Tadeo, dejando en suspenso a todos los que le rodeaban, pues ellos no habían contemplado la visión, que sólo se mostró a Abgaro [201].

15 »Este preguntó a Tadeo: ¿De verdad eres tú discípulo de Jesús, el hijo de Dios, el que me tiene dicho: te mandaré alguno de mis discípulos que te curará y te dará vida? Y Tadeo respondió: Porque es muy grande tu fe en el que me envió, por esto he sido yo enviado a ti. Y si todavía crees en él, según la fe que tengas así verás cumplidas las peticiones de tu corazón [202].

16 »Y Abgaro le replicó: De tal manera creí en él, que llegué a querer tomar un ejército y aniquilar a los judíos que lo cruci-

ὑπονοίᾳ γέγονεν ὡς ὅτι αὐτός ἐστιν περὶ οὗ ὁ Ἰησοῦς ἐπέστειλεν λέγων ‹ἐπειδὰν ἀναληφθῶ, ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, ὃς τὸ πάθος σου ἰάσεται›.

13 »μετακαλεσάμενος οὖν τὸν Τωβίαν, παρ' ᾧ κατέμενεν, εἶπεν ‹ἤκουσα ὅτι ἀνήρ τις δυνάστης ἐλθὼν κατέμεινεν ἐν τῇ σῇ οἰκίᾳ· ἀνάγαγε αὐτὸν πρός με.› ἐλθὼν δὲ ὁ Τωβίας παρὰ Θαδδαίῳ, εἶπεν αὐτῷ ‹ὁ τοπάρχης Ἄβγαρος μετακαλεσάμενός με εἶπεν ἀναγαγεῖν σε παρ' αὐτῷ, ἵνα θεραπεύσῃς αὐτόν›. καὶ ὁ Θαδδαῖος, ‹ἀναβαίνω›, ἔφη, ‹ἐπειδήπερ δυνάμει παρ' αὐτῷ ἀπέσταλμαι›.

14 »ὀρθρίσας οὖν ὁ Τωβίας τῇ ἑξῆς καὶ παραλαβὼν τὸν Θαδδαῖον ἦλθεν πρὸς τὸν Ἄβγαρον. ὡς δὲ ἀνέβη, παρόντων καὶ ἑστώτων τῶν μεγιστάνων αὐτοῦ, παραχρῆμα ἐν τῷ εἰσιέναι αὐτὸν ὅραμα μέγα ἐφάνη τῷ Ἀβγάρῳ ἐν τῷ προσώπῳ τοῦ ἀποστόλου Θαδδαίου· ὅπερ ἰδὼν Ἄβγαρος προσεκύνησεν τῷ Θαδδαίῳ, θαῦμά τε ἔσχεν πάντας τοὺς περιεστῶτας· αὐτοὶ γὰρ οὐχ ἑοράκασι τὸ ὅραμα, ὃ μόνῳ τῷ Ἀβγάρῳ ἐφάνη·

15 »ὃς καὶ τὸν Θαδδαῖον ἤρετο εἰ ‹ἐπ' ἀληθείας μαθητὴς εἶ Ἰησοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, ὃς εἰρήκει πρός με ‹ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, ὅστις ἰάσηταί σε καὶ ζωήν σοι παρέξει.› καὶ ὁ Θαδδαῖος ἔφη ‹ἐπεὶ μεγάλως πεπίστευκας εἰς τὸν ἀποστείλαντά με, διὰ τοῦτο ἀπεστάλην πρὸς σέ. καὶ πάλιν, ἐὰν πιστεύσῃς ἐν αὐτῷ, ὡς ἂν πιστεύσῃς, ἔσται σοι τὰ αἰτήματα τῆς καρδίας σου›.

16 »καὶ ὁ Ἄβγαρος πρὸς αὐτόν ‹οὕτως ἐπίστευσα›, φησίν, ‹ἐν αὐτῷ, ὡς καὶ τοὺς Ἰουδαίους τοὺς σταυρώσαντας αὐτὸν βου-

[201] Cf. Act 9,7.
[202] Cf. Mt 8,13; Mc 9,23; Sal 37,4.

ficaron, de no haberme hecho desistir el miedo al Imperio romano. Y Tadeo le dijo: Nuestro Señor ha cumplido la voluntad del Padre y, una vez cumplida, subió al Padre.

17 »Díjole Abgaro: También yo he creído en él y en su Padre Y Tadeo dijo: Por esto voy a poner mi mano sobre ti en su nombre. Y así que lo hubo hecho, al punto quedó curado el rey de la enfermedad y de la dolencia que tenía.

18 »Y Abgaro se maravilló de que tal como él tenía oído decir acerca de Jesús, así lo acababa de experimentar de hecho por obra de su discípulo Tadeo, el cual, sin fármacos ni hierbas, le había curado. Y no sólo a él, sino también a Abdón, hijo de Abdón, que sufría de gota y que, acercándose también a Tadeo, cayó a sus pies, suplicó con sus manos y fue curado. Y a muchos otros conciudadanos curó Tadeo, obrando maravillas y proclamando la palabra de Dios.

19 »Después de esto, dijo Abgaro: Tadeo, tú haces estos milagros con el poder de Dios, y nosotros hemos quedado maravillados. Pero yo te ruego que además nos des alguna explicación sobre la venida de Jesús, cómo fue, y también sobre su poder: en virtud de qué poder [203] obraba él los portentos de que yo he oído hablar.

20 »Y Tadeo respondió: Ahora guardaré silencio. Pero mañana, puesto que fui enviado para predicar la palabra, convoca en asamblea a todos tus ciudadanos, y yo predicaré delante de ellos, y en ellos sembraré [204] la palabra de vida: sobre la venida de Jesús: cómo

ληθῆναι δύναμιν παραλαβὼν κατακόψαι, εἰ μὴ διὰ τὴν βασιλείαν τὴν Ῥωμαίων ἀνεκόπην τούτου›. καὶ ὁ Θαδδαῖος εἶπεν ‹ὁ κύριος ἡμῶν τὸ θέλημα τοῦ πατρὸς αὐτοῦ πεπλήρωκεν καὶ πληρώσας ἀνελήφθη πρὸς τὸν πατέρα›.

17 »λέγει αὐτῷ Ἄβγαρος ‹κἀγὼ πεπίστευκα εἰς αὐτὸν καὶ εἰς τὸν πατέρα αὐτοῦ›. καὶ ὁ Θαδδαῖος ‹διὰ τοῦτο›, φησί, ‹τίθημι τὴν χεῖρά μου ἐπὶ σὲ ἐν ὀνόματι αὐτοῦ›. καὶ τοῦτο πράξαντος, παραχρῆμα ἐθεραπεύθη τῆς νόσου καὶ τοῦ πάθους οὗ εἶχεν.

18 »ἐθαύμασέν τε ὁ Ἄβγαρος ὅτι καθὼς ἤκουσται αὐτῷ περὶ τοῦ Ἰησοῦ, οὕτως τοῖς ἔργοις παρέλαβεν διὰ τοῦ μαθητοῦ αὐτοῦ Θαδδαίου, ὃς αὐτὸν ἄνευ φαρμακείας καὶ βοτανῶν ἐθεράπευσεν, καὶ οὐ μόνον, ἀλλὰ καὶ Ἄβδον τὸν τοῦ Ἄβδου, ποδάγραν ἔχοντα· ὃς καὶ αὐτὸς προσελθὼν ὑπὸ τοὺς πόδας αὐτοῦ ἔπεσεν, εὐχάς τε διὰ χειρὸς λαβὼν ἐθεραπεύθη, πολλούς τε ἄλλους συμπολίτας αὐτῶν ὁ αὐτὸς ἰάσατο, θαυμαστὰ καὶ μεγάλα ποιῶν καὶ κηρύσσων τὸν λόγον τοῦ θεοῦ.

19 »μετὰ δὲ ταῦτα ὁ Ἄβγαρος ‹σὺ Θαδδαῖε›, ἔφη, ‹σὺν δυνάμει τοῦ θεοῦ ταῦτα ποιεῖς καὶ ἡμεῖς αὐτοὶ ἐθαυμάσαμεν· ἀλλ' ἐπὶ τούτοις δέομαί σου, διήγησαί μοι περὶ τῆς ἐλεύσεως τοῦ Ἰησοῦ πῶς ἐγένετο, καὶ περὶ τῆς δυνάμεως αὐτοῦ, καὶ ἐν ποίᾳ δυνάμει ταῦτα ἐποίει ἅτινα ἤκουσταί μοι›.

20 »καὶ ὁ Θαδδαῖος ‹νῦν μὲν σιωπήσομαι›, ἔφη, ‹ἐπεὶ δὲ κηρῦξαι τὸν λόγον ἀπεστάλην, αὔριον ἐκκλησίασόν μοι τοὺς πολίτας σου πάντας, καὶ ἐπ' αὐτῶν κηρύξω καὶ σπερῶ ἐν αὐτοῖς τὸν λόγον τῆς ζωῆς, περί τε τῆς ἐλεύσεως τοῦ Ἰησοῦ καθὼς ἐγένετο, καὶ περὶ τῆς ἀποστολῆς

203 Cf. Mt 21,23.
204 Cf. Mt 13,19; Lc 8,12.

fue; y sobre su misión: por qué razón el Padre lo envió; y acerca de su poder, de sus obras y de los misterios de que habló en el mundo: en virtud de qué poder realizaba esto; y acerca de la novedad de su mensaje, de su pequeñez y de su humillación: cómo se humilló [205] a sí mismo deponiendo y empequeñeciendo su divinidad, y cómo fue crucificado y descendió al hades e hizo saltar el cerrojo que desde siempre seguía intacto y resucitó muertos, y cómo, habiendo bajado solo, subió a su Padre con una gran muchedumbre [206].

21 »Mandó, pues, Abgaro, que al alba se reunieran todos sus ciudadanos y que escucharan la predicación de Tadeo, y luego ordenó que se le diese oro y plata sin acuñar. Pero él no lo aceptó y dijo: Si hemos dejado lo nuestro, ¿cómo habíamos de tomar lo ajeno?

»Ocurría esto el año 340 [207]».

22 Baste por el momento con este relato, que no será inútil, traducido literalmente de la lengua siríaca.

αὐτοῦ, καὶ ἕνεκα τίνος ἀπεστάλη ὑπὸ τοῦ πατρός, καὶ περὶ τῆς δυνάμεως καὶ τῶν ἔργων αὐτοῦ καὶ μυστηρίων ὧν ἐλάλησεν ἐν κόσμῳ, καὶ ποίᾳ δυνάμει ταῦτα ἐποίει, καὶ περὶ τῆς καινῆς αὐτοῦ κηρύξεως, καὶ περὶ τῆς μικρότητος καὶ περὶ τῆς ταπεινώσεως, καὶ πῶς ἐταπείνωσεν ἑαυτὸν καὶ ἀπέθετο καὶ ἐσμίκρυνεν αὐτοῦ τὴν θεότητα, καὶ ἐσταυρώθη, καὶ κατέβη εἰς τὸν Ἅιδην, καὶ διέσχισε φραγμὸν τὸν ἐξ αἰῶνος μὴ σχισθέντα, καὶ ἀνήγειρεν νεκροὺς καὶ κατέβη μόνος, ἀνέβη δὲ μετὰ πολλοῦ ὄχλου πρὸς τὸν πατέρα αὐτοῦ›.

21 »ἐκέλευσεν οὖν ὁ Ἄβγαρος τῇ ἕωθεν συνάξαι τοὺς πολίτας αὐτοῦ καὶ ἀκοῦσαι τὴν κήρυξιν Θαδδαίου, καὶ μετὰ ταῦτα προσέταξεν δοθῆναι αὐτῷ χρυσὸν καὶ ἄσημον. ὁ δὲ οὐκ ἐδέξατο, εἰπών ‹εἰ τὰ ἡμέτερα καταλελοίπαμεν, πῶς τὰ ἀλλότρια ληψόμεθα›;

22 »ἐπράχθη ταῦτα τεσσαρακοστῷ καὶ τριακοσιοστῷ ἔτει».

ἃ καὶ οὐκ εἰς ἄχρηστον πρὸς λέξιν ἐκ τῆς Σύρων μεταβληθέντα φωνῆς ἐνταῦθά μοι κατὰ καιρὸν κείσθω.

205 Flp 2,8.

206 1 Pe 3,19; *Evangelium Petri* 41: ed. A. De Santos Otero, *Los Evangelios apócrifos*: BAC 148 (Madrid ²1963) p.390; San Ignacio de Antioquía, *Magn.* 9,2; Ps.-Ignacio, *Trall.* 9,2; San Justino, *Dial.* 72.

207 Es decir, el año 28-29 d. C. La fecha del texto sigue la era seléucida, que comienza el 1 de octubre del año 312 a. C. y que recibe también los nombres de era de los griegos y era de Alejandro (por suponer su punto de partida en la muerte de Alejandro IV, año 311 a. C.).

LIBRO SEGUNDO

El libro segundo de la *Historia Eclesiástica* contiene lo siguiente:

1. De la vida de los apóstoles después de la ascensión de Cristo.
2. De la emoción de Tiberio al informarle Pilato de los hechos referentes a Cristo.
3. De cómo la doctrina de Cristo, en breve tiempo, se propagó a todo el mundo.
4. De cómo, después de Tiberio, Cayo estableció a Agripa como rey de los judíos y castigó a Herodes con el destierro perpetuo.
5. De cómo Filón desempeñó una embajada cerca de Cayo en favor de los judíos.
6. De los males que afluyeron sobre los judíos después de su avilantez contra Cristo.
7. De cómo también Pilato se suicidó.
8. Del hambre en tiempos de Claudio.
9. Martirio del apóstol Santiago.
10. De cómo Agripa, llamado también Herodes, persiguió a los apóstoles y pronto experimentó la venganza divina.
11. Del impostor Teudas.
12. De Elena, reina de Adiabene.
13. De Simón Mago.
14. De la predicación del apóstol Pedro en Roma.
15. Del evangelio de Marcos.
16. De cómo Marcos fue el primero en predicar a los egipcios el conocimiento de Cristo.

B'

Τάδε καὶ ἡ β' περιέχει βίβλος τῆς Ἐκκλησιαστικῆς ἱστορίας

Α' Περὶ τῆς μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ διαγωγῆς τῶν ἀποστόλων.
Β' Ὅπως Τιβέριος ὑπὸ Πιλάτου τὰ περὶ τοῦ Χριστοῦ διδαχθεὶς ἐκινήθη.
Γ' Ὅπως εἰς πάντα τὸν κόσμον ἐν βραχεῖ χρόνῳ διέδραμεν ὁ περὶ τοῦ Χριστοῦ λόγος.
Δ' Ὡς μετὰ Τιβέριον Γάϊος Ἰουδαίων βασιλέα καθίστησιν Ἀγρίππαν, τὸν Ἡρῴδην ἀϊδίῳ ζημιώσας φυγῇ.
Ε' Ὡς Φίλων ὑπὲρ Ἰουδαίων πρεσβείαν ἐστείλατο πρὸς Γάϊον.
ς' Ὅσα Ἰουδαίοις συνερρύη κακὰ μετὰ τὴν κατὰ τοῦ Χριστοῦ τόλμαν.
Ζ' Ὡς καὶ Πιλάτος ἑαυτὸν διεχρήσατο.
Η' Περὶ τοῦ κατὰ Κλαύδιον λιμοῦ.
Θ' Μαρτύριον Ἰακώβου τοῦ ἀποστόλου.
Ι' Ὡς Ἀγρίππας ὁ καὶ Ἡρῴδης τοὺς ἀποστόλους διώξας τῆς θείας παραυτίκα δίκης ᾔσθετο.
ΙΑ' Περὶ Θευδᾶ τοῦ γόητος.
ΙΒ' Περὶ Ἑλένης τῆς τῶν Ἀδιαβηνῶν βασιλίδος.
ΙΓ' Περὶ Σίμωνος τοῦ μάγου.
ΙΔ' Περὶ τοῦ κατὰ Ῥώμην κηρύγματος Πέτρου τοῦ ἀποστόλου.
ΙΕ' Περὶ τοῦ κατὰ Μάρκον εὐαγγελίου.
Ις' Ὡς πρῶτος Μάρκος τοῖς κατ' Αἴγυπτον τὴν εἰς τὸν Χριστὸν γνῶσιν ἐκήρυξεν.

Este libro lo hemos compuesto con extractos de Clemente, de Tertuliano, de Josefo y de Filón [1].

Συνῆκται ἡμῖν ἡ βίβλος ἀπὸ τῶν Κλήμεντος Τερτυλλιανοῦ Ἰωσήπου Φίλωνος.

[PRÓLOGO]

1 Todos los datos de la *Historia Eclesiástica* que era necesario establecer a guisa de prólogo: lo referente a la divinidad del Verbo salvador, la antigüedad de los dogmas de nuestra doctrina y la vetustez de la forma de vida [2] evangélica de los cristianos; y no sólo eso, sino también lo que dice relación con la reciente manifestación

1 Ὅσα μὲν τῆς ἐκκλησιαστικῆς ἱστορίας ἐχρῆν ὡς ἐν προοιμίῳ διαστείλασθαι τῆς τε θεολογίας πέρι τοῦ σωτηρίου λόγου καὶ τῆς ἀρχαιολογίας τῶν τῆς ἡμετέρας διδασκαλίας δογμάτων ἀρχαιότητός τε τῆς κατὰ Χριστιανοὺς εὐαγγελικῆς πολι-

[1] Iremos comprobando este afán constante de Eusebio por señalar escrupulosamente las fuentes que utiliza, aunque sea muy poco lo que tome de ellas.

[2] Forma de vida o conducta regulada. No tiene más alcance la palabra πολιτεία en la HE de Eusebio. Esa forma de vida estará regulada generalmente por el Evangelio, como aquí e *infra* 17,15; IV 7,13; 23,2; VII 32,30, por ejemplo, pero también puede tratarse de las leyes que reglamentan la vida de la sociedad helénica, a la que pasa Ammonio al abandonar el cristianismo; cf. *infra* VI 19,7. Por causa de esta significación tan restrictiva, Eusebio, cuando aplica la palabra al cristianismo, generalmente la completa con otras como φιλοσοφία, διδασκαλία, πίστις, etc.

de Cristo, con la actividad previa a la pasión y con la elección de los apóstoles; todo esto queda bien explicado en el libro anterior, con razones abreviadas [3].

2 Pero en el presente vamos ya a considerar también los hechos que siguieron a su ascensión. Unos los iremos anotando de las Sagradas Escrituras, y otros los sacaremos de fuera, de todos los tratados que oportunamente citaremos.

1

[De la vida de los apóstoles después de la ascensión de Cristo]

1 El primero [4], pues, que la suerte designó para el apostolado en sustitución de Judas el traidor fue Matías [5], que también había sido uno de los discípulos del Salvador, como ya queda probado. Por otra parte, los apóstoles, mediante la oración e imposición de manos, instituyen además, con destino al ministerio y a causa del servicio común, a unos varones probados, en número de siete: Esteban y sus compañeros [6]. También fue Esteban, después del Señor y casi a la vez que recibía la imposición de manos, como si le hubieran promovido para esto mismo, el primero en ser muerto a pedradas por los mismos que mataron al Señor [7], y de esta manera el primero también en llevar la corona—a la que alude su nombre—de los victoriosos mártires de Cristo.

2 Por aquel entonces, también Santiago, el llamado hermano

τείας, οὐ μὴν ἀλλὰ καὶ ὅσα περὶ τῆς γενομένης ἔναγχος ἐπιφανείας αὐτοῦ, τά τε πρὸ τοῦ πάθους καὶ τὰ περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς, ἐν τῷ πρὸ τούτου, συντεμόντες τὰς ἀποδείξεις, διειλήφαμεν·

2 φέρε δ', ἐπὶ τοῦ παρόντος ἤδη καὶ τὰ μετὰ τὴν ἀνάληψιν αὐτοῦ διασκεψώμεθα, τὰ μὲν ἐκ τῶν θείων παρασημαινόμενοι γραμμάτων, τὰ δ' ἔξωθεν προσιστοροῦντες ἐξ ὧν κατὰ καιρὸν μνημονεύσομεν ὑπομνημάτων.

Α'

1 Πρῶτος τοιγαροῦν εἰς τὴν ἀποστολὴν ἀντὶ τοῦ προδότου Ἰούδα κληροῦται Ματθίας, εἷς καὶ αὐτός, ὡς δεδήλωται, τῶν τοῦ κυρίου γενόμενος μαθητῶν. καθίστανται δὲ δι' εὐχῆς καὶ χειρῶν ἐπιθέσεως τῶν ἀποστόλων εἰς διακονίαν ὑπηρεσίας ἕνεκα τοῦ κοινοῦ ἄνδρες δεδοκιμασμένοι, τὸν ἀριθμὸν ἑπτά, οἱ ἀμφὶ τὸν Στέφανον· ὃς καὶ πρῶτος μετὰ τὸν κύριον ἅμα τῇ χειροτονίᾳ, ὥσπερ εἰς αὐτὸ τοῦτο προαχθείς, λίθοις εἰς θάνατον πρὸς τῶν κυριοκτόνων βάλλεται, καὶ ταύτῃ πρῶτος τὸν αὐτῷ φερώνυμον τῶν ἀξιονίκων τοῦ Χριστοῦ μαρτύρων ἀποφέρεται στέφανον.

2 τότε δῆτα καὶ Ἰάκωβον, τὸν τοῦ κυρίου λεγόμενον ἀδελφόν, ὅτι δὴ καὶ οὗτος τοῦ Ἰωσὴφ ὠνόμαστο παῖς, τοῦ δὲ Χριστοῦ πατὴρ ὁ Ἰωσήφ, ᾧ μνησ-

[3] Con estas palabras, Eusebio quiere dejar bien sentado el carácter introductorio del libro primero de su HE.
[4] Nótese la frecuencia de esta expresión, «el primero», en el presente capítulo, § 1,2,8,10,13.
[5] Cf. Act 1,15-26; *supra* I 12,3.
[6] Act 6,1-6.
[7] Act 7,58-59.

del Señor [8]—porque en verdad también a él se le llamaba hijo de José [9]; ahora bien, el padre de Cristo era José, con el que estaba desposada la Virgen cuando, antes de que convivieran se halló que había concebido del Espíritu Santo, como enseña la Sagrada Escritura de los evangelios [10]—; este mismo Santiago, pues, al que los antiguos pusieron el sobrenombre de Justo [11], por el mérito superior de su virtud, se refiere que fue el primero a quien se confió el trono [12] episcopal de la Iglesia de Jerusalén.

3 Clemente, en el libro VI de las *Hypotyposeis*, aduce lo siguiente:

«Porque—dicen—después de la ascensión del Salvador, Pedro, Santiago y Juan, aunque habían sido los predilectos del Salvador, no se adjudicaron este honor, sino que eligieron obispo de Jerusalén a Santiago el Justo» [13].

4 Y el mismo autor, en el libro VII de la misma obra, dice todavía sobre él lo que sigue:

«El Señor, después de su ascensión, hizo entrega del conocimiento [14] a Santiago el Justo, a Juan y a Pedro, y éstos se lo transmi-

τευθεῖσα ἡ παρθένος, πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου, ὡς ἡ ἱερὰ τῶν εὐαγγελίων διδάσκει γραφή· τοῦτον δὴ οὖν αὐτὸν Ἰάκωβον, ὃν καὶ δίκαιον ἐπίκλην οἱ πάλαι δι' ἀρετῆς ἐκάλουν προτερήματα, πρῶτον ἱστοροῦσιν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας τὸν τῆς ἐπισκοπῆς ἐγχειρισθῆναι θρόνον·

3 Κλήμης ἐν ἕκτῳ τῶν Ὑποτυπώσεων γράφων ὧδε παρίστησιν

«Πέτρον γάρ φησιν καὶ Ἰάκωβον καὶ Ἰωάννην μετὰ τὴν ἀνάληψιν τοῦ σωτῆρος, ὡς ἂν καὶ ὑπὸ τοῦ σωτῆρος προτετιμημένους, μὴ ἐπιδικάζεσθαι δόξης, ἀλλὰ Ἰάκωβον τὸν δίκαιον ἐπίσκοπον τῶν Ἱεροσολύμων ἑλέσθαι».

4 ὁ δ' αὐτὸς ἐν ἑβδόμῳ τῆς αὐτῆς ὑποθέσεως ἔτι καὶ ταῦτα περὶ αὐτοῦ φησιν

«Ἰακώβῳ τῷ δικαίῳ καὶ Ἰωάννῃ καὶ Πέτρῳ μετὰ τὴν ἀνάστασιν παρέδωκεν τὴν γνῶσιν ὁ κύριος, οὗτοι τοῖς λοιποῖς

8 Gál 1,19.

9 Para Mt 10,3; Mc 3,18; Jn 19,25 y Act 1,13, Santiago era hijo de Alfeo o Cleofás (cf. Mt 27,56). La opinión de que era hijo de José se encuentra expresa en el ms. B del *Protoevangelio de Santiago*. Eusebio recoge esta tradición y, un poco confusamente, la fusiona con la otra, que afirmaba la viudez de José, y que provenía del *Evangelio de Pedro*, al que remite Orígenes (*In Math.* 10,17); en la misma línea están Epifanio, Gregorio de Nisa e incluso Juan Crisóstomo e Hilario de Poitiers, aunque no Jerónimo. Eusebio, a pesar de sus expresiones reticentes, probablemente pensaba también que Santiago era hijo de José y de una primera esposa, pues tal parece haber sido la opinión de Hegesipo; cf. M. J. LAGRANGE, *L'Évangile sélon Saint Marc* (Paris [4]1929) p.72-89; TH. ZAHN, *Brüdern und Vettern Jesus:* Forschungen 6,225-364; W. PRATSCHER, *Der Herrenbruder Jakobus und y die Jakobustradition* = Forsch. z. Relig. u Literatur des A. v. N. Testament, 139 (Gottinga 1987); Id., *Der Herrenbruder Jakobus und seris kreis:* Evangelische Theologie 47 (1987) 228-244.

10 Mt 1,18.

11 Cf. *infra* 23,7.

12 Son varias las veces que se utiliza en esta obra la palabra «trono» referida al episcopado de Jerusalén: además de este pasaje, *infra* 23,1; III 5,2; 11; 35; VII 14; 19; 32,29. Su aplicación a otros episcopados es más rara: al de Corinto, *infra* IV 23,1; al de Roma, VI 29,4; al de Antioquía, aunque esta vez más bien como signo del orgullo de Pablo de Samosata, VII 30,9; V. TWOMEY, *Apostholikos Thronos* = Münsterische Beiträge z. Theologie, 49 (Münster 1982).

13 *Fragmento* 10: cf. *infra* 23,1; en ambos pasajes sigue a Clemente de Alejandría; en 23,4 sigue a Hegesipo, que refleja otra tradición; en VII 19 combinará las dos; cf. A. CAMPBELL, *The elders of the Jerusalem Church:* JTS 44 (1993) 511-528.

tieron a los demás apóstoles, y los demás apóstoles a los setenta, uno de los cuales era también Bernabé.

5 »Hubo dos Santiagos: uno, el Justo, que fue precipitado desde el pináculo del templo y rematado a golpes con un mazo de batán [15]; y el otro, el que fue decapitado» [16].

De Santiago el Justo hace mención también Pablo cuando escribe: *Otro apóstol no vi, si no es a Santiago, el hermano del Señor*[17].

6 Por este tiempo se cumplió también lo prometido por nuestro Salvador al rey de Osroene, pues Tomás, por impulso divino, envió a Tadeo a Edesa como heraldo y evangelista de la doctrina de Cristo, como lo acabamos de probar con documentos encontrados allí [18].

7 Tadeo, personado en el lugar, cura a Abgaro por la palabra de Cristo y deja pasmados con sus extraños milagros a todos los circunstantes [19]. Cuando ya los tuvo suficientemente dispuestos con sus obras, los fue conduciendo hacia la adoración del poder de Cristo y acabó haciéndoles discípulos de la doctrina del Salvador [20]. Desde entonces hasta hoy, la ciudad entera de Edesa está consagrada al nombre de Cristo, dando así una prueba nada común de los beneficios que nuestro Salvador les había hecho.

ἀποστόλοις παρέδωκαν, οἱ δὲ λοιποὶ ἀπόστολοι τοῖς ἑβδομήκοντα· ὧν εἷς ἦν καὶ Βαρναβᾶς.

5 »δύο δὲ γεγόνασιν Ἰάκωβοι, εἷς ὁ δίκαιος, ὁ κατὰ τοῦ πτερυγίου βληθεὶς καὶ ὑπὸ γναφέως ξύλῳ πληγεὶς εἰς θάνατον, ἕτερος δὲ ὁ καρατομηθείς».

αὐτοῦ δὴ τοῦ δικαίου καὶ ὁ Παῦλος μνημονεύει γράφων «ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου».

6 ἐν τούτοις καὶ τὰ τῆς τοῦ σωτῆρος ἡμῶν πρὸς τὸν τῶν Ὀσροηνῶν βασιλέα τέλος ἐλάμβανεν ὑποσχέσεως. ὁ γοῦν Θωμᾶς τὸν Θαδδαῖον κινήσει θειοτέρᾳ ἐπὶ τὰ Ἔδεσσα κήρυκα καὶ εὐαγγελιστὴν τῆς περὶ τοῦ Χριστοῦ διδασκαλίας ἐκπέμπει, ὡς ἀπὸ τῆς εὑρεθείσης αὐτόθι γραφῆς μικρῷ πρόσθεν ἐδηλώσαμεν·

7 ὁ δὲ τοῖς τόποις ἐπιστάς, τόν τε Ἄβγαρον ἰᾶται τῷ Χριστοῦ λόγῳ καὶ τοὺς αὐτόθι πάντας τοῖς τῶν θαυμάτων παραδόξοις ἐκπλήττει, ἱκανῶς τε αὐτοὺς τοῖς ἔργοις διαθεὶς καὶ ἐπὶ σέβας ἀγαγὼν τῆς τοῦ Χριστοῦ δυνάμεως, μαθητὰς τῆς σωτηρίου διδασκαλίας κατεστήσατο, εἰς ἔτι τε νῦν ἐξ ἐκείνου ἡ πᾶσα τῶν Ἐδεσσηνῶν πόλις τῇ Χριστοῦ προσανάκειται προσηγορίᾳ, οὐ τὸ τυχὸν ἐπιφερομένη δεῖγμα τῆς τοῦ σωτῆρος ἡμῶν καὶ εἰς αὐτοὺς εὐεργεσίας.

[14] Sobre el sentido de este conocimiento o gnosis en Clemente, cf. A. MEHAT, *Etude sur les 'Stromates' de Clément d'Alexandrie*: Patristica Sorbonensia 7 (Paris 1966) 421-488; cf. R. FABRIS, S. *Pietro apostolo nella prima chiesa*: Studia missionalia 35 (1986) 41-70.

[15] Cf. HEGESIPO: *infra* 23,11-18. Al no mencionar más que estos dos Santiagos, parece que Clemente identifica a Santiago el Justo o hermano del Señor con Santiago, hijo de Alfeo (o de Cleofás; cf. Mt 27,56), uno de los Doce, según Mt 10,3; Mc 3,18; Jn 19,25; Act 1,13. Pero no es seguro.

[16] Cf. Act 12,7; CLEMENTE DE ALEJANDRÍA, *Hypotypos.* fragm. 13.

[17] Gál 1,19.

[18] Cf. *supra* I 13,5ss.

[19] *Supra* I 13,11-18.

[20] Esta frase resume la actividad de Tadeo y su resultado, omitido *supra* I 13,21.

8 Baste con lo dicho, tomado de antiguos relatos, y volvamos otra vez a la Sagrada Escritura.

A continuación del martirio de Esteban se produjo la primera y gran persecución contra la Iglesia de Jerusalén por obra de los mismos judíos. Todos los discípulos, exceptuados solamente los Doce, se dispersaron por toda Judea y Samaria [21]. Algunos, según dice la Escritura divina [22], arribaron a Fenicia, Chipre y Antioquía. No se hallaban todavía capacitados para osar compartir con los gentiles la doctrina de la fe, y así la anunciaron solamente a los judíos.

9 Por entonces también Pablo andaba todavía devastando la Iglesia: penetraba en las casas de los fieles, arrancaba a viva fuerza a hombres y mujeres y los encarcelaba [23].

10 Mas también Felipe, uno de los que se escogiera para el servicio junto con Esteban [24] y que se hallaba entre los dispersos, descendió a Samaria y, lleno de poder divino, fue el primero en predicar la doctrina a los samaritanos. Tan grande era la gracia divina que obraba en él, que se atrajo con sus palabras al mismo Simón Mago y a una gran muchedumbre [25].

11 Por aquel tiempo, Simón había logrado una fama tal con su mágico poder sobre los ilusos, que él mismo se creía ser el gran poder de Dios. Fue entonces cuando, pasmado también él ante las increíbles maravillas obradas por Felipe con el poder divino, se infiltró y llevó el fingimiento de su fe en Cristo hasta el punto de ser bautizado [26].

8 καὶ ταῦτα δ' ὡς ἐξ ἀρχαίων ἱστορίας εἰρήσθω· μετίωμεν δ' αὖθις ἐπὶ τὴν θείαν γραφήν. γενομένου δῆτα ἐπὶ τῇ τοῦ Στεφάνου μαρτυρίᾳ πρώτου καὶ μεγίστου πρὸς αὐτῶν Ἰουδαίων κατὰ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας διωγμοῦ πάντων τε τῶν μαθητῶν πλὴν ὅτι μόνων τῶν δώδεκα ἀνὰ τὴν Ἰουδαίαν τε καὶ Σαμάρειαν διασπαρέντων, τινές, ᾗ φησιν ἡ θεία γραφή, διελθόντες ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, οὔπω μὲν ἔθνεσιν οἷοί τε ἦσαν τοῦ τῆς πίστεως μεταδιδόναι λόγου τολμᾶν, μόνοις δὲ τοῦτον Ἰουδαίοις κατήγγελλον.

9 τηνικαῦτα καὶ Παῦλος ἐλυμαίνετο εἰς ἔτι τότε τὴν ἐκκλησίαν, κατ' οἴκους τῶν πιστῶν εἰσπορευόμενος σύρων τε ἄνδρας καὶ γυναῖκας καὶ εἰς φυλακὴν παραδιδούς.

10 ἀλλὰ καὶ Φίλιππος, εἷς τῶν ἅμα Στεφάνῳ προχειρισθέντων εἰς τὴν διακονίαν, ἐν τοῖς διασπαρεῖσιν γενόμενος, κάτεισιν εἰς τὴν Σαμάρειαν, θείας τε ἔμπλεως δυνάμεως κηρύττει πρῶτος τοῖς αὐτόθι τὸν λόγον, τοσαύτη δ' αὐτῷ θεία συνήργει χάρις ὡς καὶ Σίμωνα τὸν μάγον μετὰ πλείστων ὅσων τοῖς αὐτοῦ λόγοις ἑλχθῆναι.

11 ἐπὶ τοσοῦτον δ' ὁ Σίμων βεβοημένος κατ' ἐκεῖνο καιροῦ τῶν ἠπατημένων ἐκράτει γοητείᾳ, ὡς τὴν μεγάλην αὐτὸν ἡγεῖσθαι εἶναι δύναμιν τοῦ θεοῦ. τότε δ' οὖν καὶ οὗτος τὰς ὑπὸ τοῦ Φιλίππου δυνάμει θείᾳ τελουμένας καταπλαγεὶς παραδοξοποιίας, ὑποδύεται καὶ μέχρι λουτροῦ τὴν εἰς Χριστὸν πίστιν καθυποκρίνεται·

[21] Act 8,1; cf. S. C. MIMOUNI, *Pour une définition nouvelle du judéo-christianisme ancien:* NTS 38 (1992) 161-186.
[22] Act 11,19.
[23] Act 8,3.
[24] Act 6,5.
[25] Act 8,5-13.
[26] Act 8,13.

12 Lo que también es de admirar es que hasta ahora ocurra lo mismo con los que aun hoy en día comparten su funestísima herejía, los cuales, fieles al método de su antepasado, se infiltran en la Iglesia como sarna pestilente y causan el mayor estrago en aquellos a quienes logran inocular el veneno incurable y terrible oculto en ellos [27]. Sin embargo, la mayoría fueron ya expulsados a medida que se les sorprendió en esta perversidad, como el mismo Simón, cuando Pedro lo desenmascaró y le hizo pagar su merecido [28].

13 Pero, mientras de día en día la predicación salvadora iba progresando, alguna disposición providencial condujo fuera de Etiopía a un magnate de la reina de aquel país, que aun hoy día, según costumbre ancestral, está regido por una mujer [29]. Este magnate, primero de los gentiles en tener parte en los misterios de la doctrina divina, por habérsele aparecido Felipe [30], y primicia de los creyentes a través del mundo, refiere un documento [31] que, después de regresar a la tierra patria, fue el primero en anunciar la buena nueva del conocimiento del Dios de todas las cosas y la estancia vivificadora de nuestro Salvador entre los hombres, por lo que, gracias a él, se hizo realidad la profecía que dice: *Etiopía se adelanta a presentar sus manos a Dios* [32].

12 ὃ καὶ θαυμάζειν ἄξιον εἰς δεῦρο γινόμενον πρὸς τῶν ἔτι καὶ νῦν τὴν ἀπ' ἐκείνου μιαρωτάτην μετιόντων αἵρεσιν, οἳ τῇ τοῦ σφῶν προπάτορος μεθόδῳ τὴν ἐκκλησίαν λοιμώδους καὶ ψωραλέας νόσου δίκην ὑποδυόμενοι, τὰ μέγιστα λυμαίνονται τοὺς οἷς ἐναπομάξασθαι οἷοί τε ἂν εἶεν τὸν ἐν αὐτοῖς ἀποκεκρυμμένον δυσαλθῆ καὶ χαλεπὸν ἰόν. ἤδη γέ τοι πλείους τούτων ἀπεώσθησαν, ὁποῖοί τινες εἶεν τὴν μοχθηρίαν, ἁλόντες, ὥσπερ οὖν καὶ ὁ Σίμων αὐτὸς πρὸς τοῦ Πέτρου καταφωραθεὶς ὃς ἦν, τὴν προσήκουσαν ἔτισεν τιμωρίαν.

13 ἀλλὰ γὰρ εἰς αὔξην ὁσημέραι προϊόντος τοῦ σωτηρίου κηρύγματος, οἰκονομία τις ἦγεν ἀπὸ τῆς Αἰθιόπων γῆς τῆς αὐτόθι βασιλίδος, κατά τι πάτριον ἔθος ὑπὸ γυναικὸς τοῦ ἔθνους εἰς ἔτι νῦν βασιλευομένου, δυνάστην· ὃν πρῶτον ἐξ ἐθνῶν πρὸς τοῦ Φιλίππου δι' ἐπιφανείας τὰ τοῦ θείου λόγου ὄργια μετασχόντα τῶν τε ἀνὰ τὴν οἰκουμένην πιστῶν ἀπαρχὴν γενόμενον, πρῶτον κατέχει λόγος ἐπὶ τὴν πάτριον παλινοστήσαντα γῆν εὐαγγελίσασθαι τὴν τοῦ τῶν ὅλων θεοῦ γνῶσιν καὶ τὴν ζωοποιὸν εἰς ἀνθρώπους τοῦ σωτῆρος ἡμῶν ἐπιδημίαν, ἔργῳ πληρωθείσης δι' αὐτοῦ τῆς «Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ» περιεχούσης προφητείας.

[27] Cf. San Epifanio, *Haer.* 21. La insistencia de Eusebio: «todavía hoy», «aun hoy en día», etc., no parece que responda a una realidad de su tiempo, a juzgar por Epifanio. Probablemente transcribe esas expresiones de la fuente que resume.

[28] Act 8,18-23; cf. *infra* 14,3-4 y 15,1. Eusebio parece conocer las *Acta Petri;* cf. P. Vouaux, *Les Actes de Pierre* (Paris 1922) p.408ss; H. Chadwick, *Heresy and Orthodoxy in the Early Church:* Collected Studies series, 342 (Aldershot 1989); M. Simonetti, *Ortodossia ed eresia tra I e II sec.* = Armarium. Biblioteca di storia e cultura religiosa, 5 (Sovesia Mannelli 1994).

[29] Plinio, *Hist. nat.* 6,35. Es difícil pensar que la costumbre pervivió hasta el siglo iv. El «aun hoy día» proviene de la fuente utilizada.

[30] Act 8,26-39.

[31] Cf. San Ireneo, *Adv. haer.* 3,12,8; 4,23,2; Harnack, *Mission* 2 p.729.

[32] Sal 67,32; cf. Sócrates, HE I 19; Filostorgo, HE III 4ss; G. Haile, *A new look at some dates of early Ethiopian history:* Le Muséon 95 (1982) 311-322.

14 Además de los dichos, Pablo, el instrumento de elección [33], no por parte de los hombres ni por medio de los hombres, sino por revelación del mismo Jesucristo y de Dios Padre, que lo resucitó de entre los muertos [34], es proclamado apóstol: una visión y una voz del cielo [35] en el momento de la revelación lo han considerado digno de la llamada.

2

[De la emoción de Tiberio al informarle Pilato de los hechos referentes a Cristo]

1 La fama de la asombrosa resurrección de nuestro Salvador y de su ascensión a los cielos había alcanzado ya a la gran mayoría. Se había impuesto entre los gobernadores de las naciones la antigua costumbre de informar al que ocupaba el cargo imperial de todas las novedades ocurridas en sus regiones, para que ningún hecho escapara al conocimiento de aquél. Pilato, pues, dio parte al emperador Tiberio de todo lo que corría de boca en boca por toda Palestina referente a la resurrección de nuestro Salvador Jesús de entre los muertos [36].

2 Le enteró también de sus otros milagros y de que ya el pueblo creía que era Dios, porque después de su muerte había resucitado de entre los muertos. Se dice que Tiberio llevó el asunto

14 ἐπὶ τούτοις Παῦλος, τὸ τῆς ἐκλογῆς σκεῦος, οὐκ ἐξ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων. δι' ἀποκαλύψεως δ' αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, ἀπόστολος ἀναδείκνυται, δι' ὀπτασίας καὶ τῆς κατὰ τὴν ἀποκάλυψιν οὐρανίου φωνῆς ἀξιωθεὶς τῆς κλήσεως.

B'

1 Καὶ δὴ τῆς παραδόξου τοῦ σωτῆρος ἡμῶν ἀναστάσεώς τε καὶ εἰς οὐρανοὺς ἀναλήψεως τοῖς πλείστοις ἤδη περιβοήτου καθεστώσης, παλαιοῦ κεκρατηκότος ἔθους τοῖς τῶν ἐθνῶν ἄρχουσι τὰ παρὰ σφίσιν καινοτομούμενα τῷ τὴν βασίλειον ἀρχὴν ἐπικρατοῦντι σημαίνειν, ὡς ἂν μηδὲν αὐτὸν διαδιδράσκοι τῶν γινομένων, τὰ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ εἰς πάντας ἤδη καθ' ὅλης Παλαιστίνης βεβοημένα Πιλάτος Τιβερίῳ βασιλεῖ κοινοῦται,

2 τάς τε ἄλλας αὐτοῦ πυθόμενος τερατείας καὶ ὡς ὅτι μετὰ θάνατον ἐκ νεκρῶν ἀναστὰς ἤδη θεὸς εἶναι παρα τοῖς πολλοῖς πεπίστευτο. τὸν δὲ Τιβέριον ἀνενεγκεῖν ἐπὶ τὴν σύγκλητον ἐκείνην τ' ἀπώσασθαί

[33] Act 9,15.
[34] Gál 1,1.12.
[35] Act 9,3-6; 22,6-9; 26,14-19.
[36] Cf. Tertuliano, *Apolog.* 21,24, a quien Eusebio está parafraseando. No parece que a Tiberio le llegara la noticia en un informe escrito; en todo caso, Tertuliano no ha visto tal documento, que citaría, como hace con la carta de Marco Aurelio, a pesar de que no la conocía de primera mano *(Apolog.* 5,6; cf. 21); cf. San Justino, *Apol.* I 35,9; 38; 48,3; interesante el trabajo de M. Plault, *Affaire Jésus. Rapports de Ponce-Pilate, préfet de Judée, à la chancellerie romaine* (Paris 1965). Sobre la literatura del ciclo de Pilato, véase A. de Santos Otero, *Los Evangelios apócrifos:* BAC 148 (Madrid [2]1963) p.418-569.

al senado, y que éste lo rechazó, aparentemente porque no lo había aprobado previamente [37]—pues una antigua ley prescribía que, entre los romanos, nadie fuera divinizado si no era por voto y por decreto del senado [38]—, pero en realidad de verdad era porque la doctrina salvadora de la predicación divina no necesitaba de ratificación ni de recomendación procedentes de los hombres.

3 De esta manera, pues, el senado romano rechazó el informe presentado sobre nuestro Salvador. Tiberio, en cambio, conservó su primera opinión y no tramó nada fuera de lugar contra la doctrina de Cristo [39].

4 Tertuliano, exacto conocedor de las leyes romanas y varón insigne por otros conceptos e ilustrísimo en Roma [40], expone todos estos hechos en su *Apología por los cristianos*, que escribió en el mismo idioma romano y que está traducida en lengua griega, expresándose textualmente como sigue:

5 «Mas, para que discutamos partiendo del origen de tales leyes, existía un viejo decreto de que nadie podía ser consagrado como dios antes de ser aprobado por el senado. Marco Emilio así ha obrado en lo tocante a cierto ídolo, Alburno. También esto obra en favor de nuestra doctrina: el que entre vosotros la divini-

φασι τὸν λόγον, τῷ μὲν δοκεῖν, ὅτι μὴ πρότερον αὐτὴ τοῦτο δοκιμάσασα ἦν, παλαιοῦ νόμου κεκρατηκότος μὴ ἄλλως τινὰ παρὰ Ῥωμαίοις θεοποιεῖσθαι μὴ οὐχὶ ψήφῳ καὶ δόγματι συγκλήτου, τῇ δ' ἀληθείᾳ, ὅτι μηδὲ τῆς ἐξ ἀνθρώπων ἐπικρίσεώς τε καὶ συστάσεως ἡ σωτήριος τοῦ θείου κηρύγματος ἐδεῖτο διδασκαλία·

3 ταύτῃ δ' οὖν ἀπωσαμένης τὸν προσαγγελθέντα περὶ τοῦ σωτῆρος ἡμῶν λόγον τῆς Ῥωμαίων βουλῆς, τὸν Τιβέριον ἣν καὶ πρότερον εἶχεν γνώμην τηρήσαντα, μηδὲν ἄτοπον κατὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας ἐπινοῆσαι.

4 ταῦτα Τερτυλλιανὸς τοὺς Ῥωμαίων νόμους ἠκριβωκώς, ἀνὴρ τά τε ἄλλα ἔνδοξος καὶ τῶν μάλιστα ἐπὶ Ῥώμης λαμπρῶν, ἐν τῇ γραφείσῃ μὲν αὐτῷ Ῥωμαίων φωνῇ, μεταβληθείσῃ δ' ἐπὶ τὴν Ἑλλάδα γλῶτταν ὑπὲρ Χριστιανῶν ἀπολογίᾳ τίθησιν κατὰ λέξιν τοῦτον ἱστορῶν τὸν τρόπον

5 «ἵνα δὲ καὶ ἐκ τῆς γενέσεως διαλεχθῶμεν τῶν τοιούτων νόμων, παλαιὸν ἦν δόγμα μηδένα θεὸν ὑπὸ βασιλέως καθιεροῦσθαι, πρὶν ὑπὸ τῆς συγκλήτου δοκιμασθῆναι. Μάρκος Αἰμίλιος οὕτως περί τινος εἰδώλου πεποίηκεν Ἀλβούρνου. καὶ τοῦτο ὑπὲρ τοῦ ἡμῶν λόγου πεποίηται, ὅτι παρ' ὑμῖν ἀνθρωπείᾳ δοκιμῇ ἡ θεότης δίδοται. ἐὰν μὴ ἀνθρώπῳ θεὸς ἀρέσῃ,

[37] Cf. TERTULIANO, *Apolog.* 5,2.

[38] Cf. TITO LIVIO, 9,16. Lo que el decreto prohibe es consagrar un templo o un altar sin permiso del senado o de los tribunos de la plebe.

[39] Esta actitud de Tiberio, atestiguada por Tertuliano (*Apolog.* 5,1-2) y corroborada por este pasaje de Eusebio, no debe tomarse a la ligera, en opinión de C. Cecchelli (*Un tentato riconoscimento imperiale del Cristo:* Studi in onore di A. Calderini e R. Pasibeni, t.1 [Milán 1956] p.351-362). Según él, la noticia de esa proposición de Tiberio favorable a los cristianos podría remontarse a Talos y haber llegado a Tertuliano a través de Flegón, contemporáneo de Adriano.

[40] A pesar de que Tertuliano escribió también en griego, es muy poco lo que Eusebio sabe de él. Solamente parece estar algo al corriente de su *Apologeticum*, escrito en latín, del que cita cinco pasajes en una traducción griega bastante deficiente y cuyas circunstancias nos son desconocidas. Difícilmente puede admitirse que el traductor fuera Julio Africano, como sugiere A. Harnack (*Die griechische Uebersetzung des Apologeticus Tertullians:* TU 8,4 [Leipzig 1892] 30ss; cf. G. BARDY, *La question des langues dans l'Église ancienne* t.1 [Paris 1948] p.129-130).

dad se otorgue por arbitrio de los hombres. Si un dios no agrada al hombre, no llega a ser dios. ¡Así, al menos según esto, conviene que el hombre sea propicio a Dios!

6 »Tiberio, pues, bajo el cual entró en el mundo el nombre de cristiano, cuando le anunciaron esta doctrina procedente de Palestina, donde primero había comenzado, se la comunicó al senado, aclarando a los senadores que a él dicha doctrina le complacía. Pero el senado, porque él no la había aprobado, la rechazó. Tiberio, en cambio, persistió en su declaración y amenazó de muerte a los acusadores de los cristianos»[41].

La celestial providencia tenía dispuesto el poner esto en el ánimo del emperador con el fin de que la doctrina del Evangelio tuviera un comienzo libre de obstáculos y se propagara por toda la tierra.

3

[De cómo la doctrina de Cristo en breve tiempo se propagó a todo el mundo]

1 Así, indudablemente, por una fuerza y una asistencia de arriba, la doctrina salvadora, como rayo de sol, iluminó de golpe a toda la tierra habitada. Al punto, conforme a las divinas Escrituras, *la voz* de sus evangelistas inspirados y de sus apóstoles *resonó en toda la tierra, y sus palabras en el confín del mundo*[42].

2 Efectivamente, por todas las ciudades y aldeas, como en era rebosante[43], se constituían en masa iglesias formadas por muche-

θεὸς οὐ γίνεται· οὕτως κατά γε τοῦτο ἄνθρωπον θεῷ ἵλεω εἶναι προσῆκεν.

6 »Τιβέριος οὖν, ἐφ' οὗ τὸ τῶν Χριστιανῶν ὄνομα εἰς τὸν κόσμον εἰσελήλυθεν, ἀγγελθέντος αὐτῷ ἐκ Παλαιστίνης τοῦ δόγματος τούτου, ἔνθα πρῶτον ἤρξατο, τῇ συγκλήτῳ ἀνεκοινώσατο, δῆλος ὢν ἐκείνοις ὡς τῷ δόγματι ἀρέσκεται, ἡ δὲ σύγκλητος, ἐπεὶ οὐκ αὐτὴ δεδοκιμάκει, ἀπώσατο· ὃ δὲ ἐν τῇ αὐτοῦ ἀποφάσει ἔμεινεν, ἀπειλήσας θάνατον τοῖς τῶν Χριστιανῶν κατηγόροις»,

τῆς οὐρανίου προνοίας κατ' οἰκονομίαν τοῦτ' αὐτῷ πρὸς νοῦν βαλλομένης, ὡς ἂν ἀπαραποδίστως ἀρχὰς ἔχων ὁ τοῦ εὐαγγελίου λόγος πανταχόσε γῆς διαδράμοι.

Γ'

1 Οὕτω δῆτα οὐρανίῳ δυνάμει καὶ συνεργίᾳ ἀθρόως οἷά τις ἡλίου βολὴ τὴν σύμπασαν οἰκουμένην ὁ σωτήριος κατηύγαζε λόγος. αὐτίκα ταῖς θείαις ἑπομένως γραφαῖς ἐπὶ «πᾶσαν» προῄει «τὴν γῆν ὁ φθόγγος» τῶν θεσπεσίων εὐαγγελιστῶν αὐτοῦ καὶ ἀποστόλων, «καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν».

2 καὶ δῆτα ἀνὰ πάσας πόλεις τε καὶ κώμας, πληθυούσης ἅλωνος δίκην, μυρίανδροι καὶ παμπληθεῖς ἀθρόως ἐκκλησίαι συνεστήκεσαν, οἵ τε ἐκ προγόνων διαδοχῆς καὶ τῆς ἀνέκαθεν πλάνης πα-

[41] Tertuliano, *Apolog.* 5,1-2; cf. B. Baldwin, *The Roman emperors* (Montréal 1980); M. Sordi, *Los cristianos y el imperio romano* (Madrid 1988).
[42] Sal 18,5; cf. Rom 10,18; J. Weiss, *Earliest Christianity. A history of the period A.D. 30-150* (Nueva York 1959); D. Praet, *Explaining the Christianization of the Roman Empire. Older theories and recent developments*: Sacris Erudiri 33 (1992-93) 5-119.
[43] Cf. Mt 3,12; Lc 3,17.

dumbres innumerables. Los que por sucesión ancestral y por un antiguo error tenían sus almas presas del antiguo morbo de la superstición idolátrica, por el poder de Cristo y gracias a la enseñanza de sus discípulos y a los milagros que la acompañaban, rotas sus penosísimas prisiones, se apartaron de los ídolos como de amos espantosos y escupieron todo politeísmo demoníaco y confesaron que no hay más que un solo Dios: el creador de todas las cosas. Y a este Dios honraron con los ritos de la verdadera religión por medio de un culto divino y racional, el mismo que nuestro Salvador sembró en la vida de los hombres.

3 Pues bien, como quiera que la gracia divina se difundía ya por las demás naciones y, en Cesarea de Palestina[44], Cornelio y toda su casa habían sido los primeros en aceptar la fe en Cristo mediante una aparición divina y el ministerio de Pedro, también en Antioquía la aceptó toda una muchedumbre de griegos a los que habían predicado los que fueron dispersados cuando la persecución contra Esteban[45]. La Iglesia de Antioquía florecía ya y se multiplicaba cuando, estando presentes numerosos profetas llegados de Jerusalén[46], y con ellos Bernabé y Pablo, además de una muchedumbre de otros hermanos, por primera vez el nombre de *cristianos* brotó de ella[47], como de una fuente caudalosa y fecundante.

4 Agabo era también uno de los profetas que estaba con ellos

λαιᾷ νόσῳ δεισιδαιμονίας εἰδώλων τὰς ψυχὰς πεπεδημένοι, πρὸς τῆς τοῦ Χριστοῦ δυνάμεως διὰ τῆς τῶν φοιτητῶν αὐτοῦ διδασκαλίας τε ὁμοῦ καὶ παραδοξοποιίας ὥσπερ δεινῶν δεσποτῶν ἀπηλλαγμένοι εἱργμῶν τε χαλεπωτάτων λύσιν εὑράμενοι, πάσης μὲν δαιμονικῆς κατέπτυον πολυθείας, ἕνα δὲ μόνον εἶναι θεὸν ὡμολόγουν, τὸν τῶν συμπάντων δημιουργόν, τοῦτόν τε αὐτὸν θεσμοῖς ἀληθοῦς εὐσεβείας δι' ἐνθέου καὶ σώφρονος θρησκείας τῆς ὑπὸ τοῦ σωτῆρος ἡμῶν τῷ τῶν ἀνθρώπων βίῳ κατασπαρείσης ἐγέραιρον.

3 ἀλλὰ γὰρ τῆς χάριτος ἤδη τῆς θείας καὶ ἐπὶ τὰ λοιπὰ χεομένης ἔθνη καὶ πρώτου μὲν κατὰ τὴν Παλαιστίνων Καισάρειαν Κορνηλίου σὺν ὅλῳ τῷ οἴκῳ δι' ἐπιφανείας θειοτέρας ὑπουργίας τε Πέτρου τὴν εἰς Χριστὸν πίστιν καταδεξαμένου πλείστων τε καὶ ἄλλων ἐπ' Ἀντιοχείας Ἑλλήνων, οἷς οἱ κατὰ τὸν Στεφάνου διωγμὸν διασπαρέντες ἐκήρυξαν, ἀνθούσης ἄρτι καὶ πληθυούσης τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας ἐν ταὐτῷ τε ἐπιπαρόντων πλείστων ὅσων τῶν τε ἀπὸ Ἱεροσολύμων προφητῶν καὶ σὺν αὐτοῖς Βαρναβᾶ καὶ Παύλου ἑτέρου τε πλήθους ἐπὶ τούτοις ἀδελφῶν, ἡ Χριστιανῶν προσηγορία τότε πρῶτον αὐτόθι ὥσπερ ἀπ' εὐθαλοῦς καὶ γονίμου πηγῆς ἀναδίδοται.

4 καὶ Ἄγαβος μέν, εἷς τῶν συνόντων αὐτοῖς προφητῶν, περὶ τοῦ μέλλειν ἔσεσ-

44 Act 10. cf. F. MANNS, *Le prime generazioni cristiane della Palestina alla luce degli scavi archeologici e delle fonti letterarie:* Antonianum 58 (1983) 70-84.

45 Act 11,19-26.

46 Act 11,27.

47 Cf. *supra* 2,6. Frente a la hipótesis de R. Paberini y E. Peterson, de una parte, que pretenden que el nombre lo impusieron las autoridades romanas, y de otra parte, a la de H. B. Mattingli *(The Origin of the name «christiani»:* JTS 9 [1958] 26-37), que opina que fue puesto por la plebe—en ambos casos siempre por los paganos—, destaca la opinión de E. Bickerman *(The Name of Christians:* HTR 42 [1949] 109-124), recogida por B. Lifshitz *(L'origine du nom des chrétiens:* VigCh 16 [1962] 65-70), afirmando que el nombre lo inventaron y se lo aplicaron los cristianos mismos.

y andaba prediciendo como inminente una gran hambre, por lo que Pablo y Bernabé fueron enviados para ponerse al servicio de la asistencia a los hermanos[48].

4

[De cómo, después de Tiberio, Cayo estableció a Agripa como rey de los judíos y castigó a Herodes con el destierro perpetuo]

1 Murió, pues, Tiberio después de reinar unos veintidós años. Después de él tomó el poder Cayo[49], y en seguida ciñó a Agripa la diadema del mando sobre los judíos, haciéndole rey de las tetrarquías de Felipe y de Lisanias, a las que no mucho después añadió la de Herodes, tras condenar a éste (que era el Herodes del tiempo de la pasión del Salvador[50]), junto con su mujer Herodías, a destierro perpetuo por causa de sus muchos crímenes. Josefo es también testigo de estos hechos[51].

2 Por este tiempo iba siendo conocido por muchos Filón[52], varón notabilísimo, no sólo entre los nuestros, sino también entre los que procedían de una educación profana. Descendía de familia

θαι λιμὸν προθεσπίζει, Παῦλος δὲ καὶ Βαρναβᾶς ἐξυπηρετησόμενοι τῇ τῶν ἀδελφῶν παραπέμπονται διακονίᾳ.

Δ'

1 Τιβέριος μὲν οὖν ἀμφὶ τὰ δύο καὶ εἴκοσι βασιλεύσας ἔτη τελευτᾷ, μετὰ δὲ τοῦτον Γάϊος τὴν ἡγεμονίαν παραλαβών, αὐτίκα τῆς Ἰουδαίων ἀρχῆς Ἀγρίππᾳ τὸ διάδημα περιτίθησιν, βασιλέα καταστήσας αὐτὸν τῆς τε Φιλίππου καὶ τῆς Λυσανίου τετραρχίας, πρὸς αἷς μετ' οὐ πολὺν αὐτῷ χρόνον καὶ τὴν Ἡρῴδου τετραρχίαν παραδίδωσιν, ἀϊδίῳ φυγῇ τὸν Ἡρῴδην (οὗτος δ' ἦν ὁ κατὰ τὸ πάθος τοῦ σωτῆρος) σὺν καὶ τῇ γυναικὶ Ἡρῳδιάδι πλείστων ἕνεκα ζημιώσας αἰτιῶν. μάρτυς Ἰώσηπος καὶ τούτων.

2 Κατὰ δὴ τοῦτον Φίλων ἐγνωρίζετο πλείστοις, ἀνὴρ οὐ μόνον τῶν ἡμετέρων, ἀλλὰ καὶ τῶν ἀπὸ τῆς ἔξωθεν

[48] Act 11,28-30; cf. *infra* 8.

[49] Josefo, AI 18(6,10)224; BI 2(9,6)181. A Cayo Tiberio, muerto el 16 de marzo del año 37, le sucedió Cayo César Augusto Germánico, más conocido por su apodo Calígula. Cf. A. M. Honore, *Gaius: A Biography* (Oxford 1962); J. P. V. D. Balsdon, *The Emperor Gaius (Caligula)* (Oxford 1934; reimpreso en 1964).

[50] Lc 23,6-12. cf. H. W. Hoehner, *Herod Antipas. A contemporary of Jesus Christ* (Exeter 1980).

[51] Josefo, AI 18(6,10)237; (7,2)252; (6,10)225; cf. *supra* I 9,1; 11,3. Fue poco después de la subida de Calígula al poder cuando, cambiando la suerte de Herodes Agripa, hizo a éste entrega de las antiguas tetrarquías de Felipe y de Lisanias, con el título, no muy definido, de rey. La entrega de la tetrarquía de Herodes Antipas debió de ser el año 39; cf. Eusebio, *Chronic. ad annum* 37: Helm, p.177; Schuerer, 1 p.425-449 y 552.

[52] Nacido por el año 13 a. C., debió de morir entre los años 45 y 50 d. C. Aparte de lo que de él dice Eusebio en este párrafo y en el siguiente, dará una idea del concepto que de él tuvo la antigüedad cristiana lo que se refiere *infra* 17,1. Cf. San Jerónimo, *De vir. ill.* 11; H. Leisegang, *Philon aus Alexandreia*: Pauly-Wissowa, t.20 (1950) col.1-50; L. Feldmann, *Studies in Judaica, Scholarship on Philo and Josephus (1937-1962)* (Nueva York 1963).

hebrea, pero en nada era inferior a los que en Alejandría brillaban por su autoridad.

3 La extensión y la calidad de sus trabajos en torno a las ciencias divinas patrias se evidencia en su obra, y en cuanto a su capacidad para los conocimientos filosóficos y los estudios liberales de la educación profana, nada hay que decir cuando la historia da cuenta de su celo especialísimo por el estudio de la filosofía de Platón y de Pitágoras hasta aventajar a todos sus contemporáneos.

5

[De cómo Filón desempeñó una embajada cerca de Cayo en favor de los judíos]

1 Filón cuenta en cinco libros [53] las calamidades de los judíos en tiempos de Cayo [54], y a la vez explica la demencia de éste al proclamarse dios y cometer mil atropellos en su gobierno, así como las miserias de los judíos bajo su imperio y la embajada que a él mismo le fue confiada en la ciudad de Roma en favor de sus congéneres de Alejandría. Refiere cómo se presentó ante Cayo en defensa de las leyes patrias y cómo no sacó en limpio más que burlas y sarcasmos, faltando poco incluso para dejar su vida en el lance [55].

ὁρμωμένων παιδείας ἐπισημότατος. τὸ μὲν οὖν γένος ἀνέκαθεν Ἑβραῖος ἦν, τῶν δ' ἔπ' Ἀλεξανδρείας ἐν τέλει διαφανῶν οὐδενὸς χείρων,

3 περὶ δὲ τὰ θεῖα καὶ πάτρια μαθήματα ὅσον τε καὶ ὁπηλίκον εἰσενήνεκται πόνον, ἔργῳ πᾶσι δῆλος, καὶ περὶ τὰ φιλόσοφα δὲ καὶ ἐλευθέρια τῆς ἔξωθεν παιδείας οἷός τις ἦν, οὐδέν δεῖ λέγειν, ὅτε μάλιστα τὴν κατὰ Πλάτωνα καὶ Πυθαγόραν ἐζηλωκὼς ἀγωγήν, διενεγκεῖν ἅπαντας τοὺς καθ' ἑαυτὸν ἱστορεῖται.

Ε'

1 καὶ δὴ τά κατὰ Γάϊον οὗτος Ἰουδαίοις συμβάντα πέντε βιβλίοις παραδίδωσιν, ὁμοῦ τὴν Γαΐου διεξιὼν φρενοβλάβειαν, ὡς θεὸν ἑαυτὸν ἀναγορεύσαντος καὶ μυρία περὶ τὴν ἀρχὴν ἐνυβρικότος, τάς τε κατ' αὐτὸν Ἰουδαίων ταλαιπωρίας καὶ ἣν αὐτὸς στειλάμενος ἐπὶ τῆς Ῥωμαίων πόλεως ὑπὲρ τῶν κατὰ τὴν Ἀλεξάνδρειαν ὁμοεθνῶν ἐποιήσατο πρεσβείαν, ὅπως τε ἐπὶ τοῦ Γαΐου καταστὰς ὑπὲρ τῶν πατρίων νόμων, οὐδέν τι πλέον γέλωτος καὶ διασυρμῶν ἀπηνέγκατο, μικροῦ δεῖν καὶ τὸν περὶ τῆς ζωῆς ἀνατλὰς κίνδυνον.

[53] Solamente dos se han conservado: los titulados *In Flaccum* y *Legatio ad Gaium*. La clasificación de las obras de Filón ha sido objeto de incesantes discusiones, ya desde antes de la aparición de la obra de L. Massebieau (*Le classement des oeuvres de Philon*: Biblioth. de l'École des Hautes Études, Section des Sciences religieuses 1, Paris 1889); cf. L. Leisegang, a.c., col.42ss.

[54] Esta sangrienta persecución de los judíos de Alejandría tuvo lugar en otoño del año 38, siendo prefecto de Egipto Avilio Flaco. El año 40, los judíos enviaron a Calígula la embajada a que alude en las líneas siguientes, presidida por Filón, mientras los contrarios enviaban la suya, encabezada por Apión, gramático alejandrino, que enseñó también en Grecia y en Roma y que, por sus ataques a los judíos en su *Historia de Egipto*, provocó la reacción de F. Josefo, que escribió su *Contra Apionem*; cf. Schuerer, 1 p.495-503; 3 p.406ss.

[55] Cf. Filón de Alejandría, *Leg. ad Gai.*, *passim*. Véase A. Castellán, *El principado de Cayo Calígula en los escritos históricos de Filón de Alejandría*: Anales de Historia Antigua y Medieval (Buenos Aires 1956) 23-33.

2 Estos hechos los menciona también Josefo en el libro XVIII de sus *Antigüedades;* escribe textualmente:

«Y hubo una revuelta en Alejandría, entre los judíos allí residentes y los griegos, y se eligieron tres embajadores de una y otra facción para presentarse ante Cayo.

3 »Uno de los embajadores alejandrinos era Apión, el cual había calumniado mucho a los judíos diciendo, entre otras cosas, que miraban con malos ojos el honrar al César, pues, mientras todos los que estaban sometidos a la soberanía de Roma construían altares y templos a Cayo y en todo lo demás le equiparaban a los dioses, solamente los judíos creían indigno honrarle con estatuas y jurar por su nombre.

4 »Muchas y graves acusaciones profirió Apión, naturalmente con la esperanza de excitar el ánimo de Cayo. Filón, que presidía la embajada de los judíos, hombre ilustre en todo, hermano del alabarca[56] Alejandro y hábil filósofo, tenía sobrada capacidad para habérselas con las acusaciones en su discurso de defensa.

5 »Pero Cayo le cortó y le ordenó marcharse lejos. Estaba irritadísimo y era claro que iba a tomar serias medidas contra ellos. Filón salió de allí ultrajado y dijo a los judíos de su séquito que había que tener ánimo, que Cayo se había enfurecido contra ellos, pero que, en realidad, estaba atentando contra Dios»[57].

Hasta aquí Josefo.

2 μέμνηται καὶ τούτων ὁ Ἰώσηπος, ἐν ὀκτωκαιδεκάτῳ τῆς Ἀρχαιολογίας κατὰ λέξιν ταῦτα γράφων

«καὶ δὴ στάσεως ἐν Ἀλεξανδρείᾳ γενομένης Ἰουδαίων τε οἳ ἐνοικοῦσι, καὶ Ἑλλήνων, τρεῖς ἀφ' ἑκατέρας τῆς στάσεως πρεσβευταὶ αἱρεθέντες παρῆσαν πρὸς τὸν Γάϊον.

3 »καὶ ἦν γὰρ τῶν Ἀλεξανδρέων πρέσβεων εἷς Ἀπίων, ὃς πολλὰ εἰς τοὺς Ἰουδαίους ἐβλασφήμησεν, ἄλλα τε λέγων καὶ ὡς τῶν Καίσαρος τιμῶν περιορῷεν· πάντων γοῦν, ὅσοι τῇ Ῥωμαίων ἀρχῇ ὑποτελεῖς εἶεν, βωμοὺς τῷ Γαΐῳ καὶ ναοὺς ἱδρυμένων τά τε ἄλλα ἐν πᾶσιν αὐτὸν ὥσπερ τοὺς θεοὺς δεχομένων, μόνους τούσδε ἄδοξον ἡγεῖσθαι ἀνδριᾶσι τιμᾶν καὶ ὅρκιον αὐτοῦ τὸ ὄνομα ποιεῖσθαι·

4 »πολλὰ δὲ καὶ χαλεπὰ Ἀπίωνος εἰρηκότος, ὑφ' ὧν ἀρθῆναι ἤλπιζεν τὸν Γάϊον καὶ εἰκὸς ἦν, Φίλων ὁ προεστὼς τῶν Ἰουδαίων τῆς πρεσβείας, ἀνὴρ τὰ πάντα ἔνδοξος Ἀλεξάνδρου τε τοῦ ἀλαβάρχου ἀδελφὸς ὢν καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷός τε ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων,

5 »διακλείει δ' αὐτὸν Γάϊος, κελεύσας ἐκποδὼν ἀπελθεῖν, περιοργής τε ὢν φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτούς. ὁ δὲ Φίλων ἔξεισι περιυβρισμένος, καί φησιν πρὸς τοὺς Ἰουδαίους οἳ περὶ αὐτὸν ἦσαν, ὡς χρὴ θαρρεῖν, Γαΐου μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν θεὸν ἀντιπαρεξάγοντος».

[56] Quizá disimilación de «arabarca». El cargo de *arabarca*, una especie de recaudador superior de impuestos aduaneros sobre la ribera árabe del Nilo, fue ejercido con frecuencia en esta época por judíos de las más relevantes familias, como era la de Filón; cf. SCHUERER, 3 p.88-89.

[57] JOSEFO, AI 18(8,1)257-260; cf. FILÓN DE ALEJANDRÍA, *Leg. ad Gai.* 349-373; p.597-600 M. Las referencias a las obras de Filón, tras el título de la obra, responden los números de la edición de L. COHN-P. WENDLAND-S. REITER, t.6 (Berlín 1915), seguidos de la página o páginas

2 El mismo escritor nos transmite otro relato acerca de Policarpo, que es necesario añadir a lo que de él se ha dicho [86]. Es como sigue:

Tomado del l. III de los de Ireneo contra las herejías

3 «Y también Policarpo. No solamente fue instruido por los apóstoles y convivió con muchos que habían visto al Señor, sino que también fue instituido por los apóstoles obispo de Asia, en la iglesia de Esmirna. Incluso nosotros lo hemos visto en nuestra edad temprana.

4 »ya que vivió muchos años y murió muy viejo, después de dar glorioso y espléndido testimonio. Siempre enseñó lo que había aprendido de los apóstoles, que es también lo que la Iglesia transmite y lo único que es verdad [87].

5 »De esto dan testimonio todas las iglesias de Asia y los que hasta hoy sucedieron a Policarpo, que es un testigo de la verdad

ΙΔʹ

1 Ἐπὶ δὲ τῶν δηλουμένων, Ἀνικήτου τῆς Ῥωμαίων ἐκκλησίας ἡγουμένου, Πολύκαρπον ἔτι περιόντα τῷ βίῳ γενέσθαι τε ἐπὶ Ῥώμης καὶ εἰς ὁμιλίαν τῷ Ἀνικήτῳ ἐλθεῖν διά τι ζήτημα περὶ τῆς κατὰ τὸ πάσχα ἡμέρας Εἰρηναῖος ἱστορεῖ.

2 καὶ ἄλλην δὲ ὁ αὐτὸς περὶ τοῦ Πολυκάρπου παραδίδωσιν διήγησιν, ἣν ἀναγκαῖον τοῖς περὶ αὐτοῦ δηλουμένοις ἐπισυνάψαι, οὕτως ἔχουσαν

ΑΠΟ ΤΟΥ ΤΡΙΤΟΥ ΤΩΝ ΠΡΟΣ ΤΑΣ ΑΙΡΕΣΕΙΣ ΕΙΡΗΝΑΙΟΥ

3 «Καὶ Πολύκαρπος δὲ οὐ μόνον ὑπὸ ἀποστόλων μαθητευθεὶς καὶ συναναστραφεὶς πολλοῖς τοῖς τὸν κύριον ἑορακόσιν, ἀλλὰ καὶ ὑπὸ ἀποστόλων κατασταθεὶς εἰς τὴν Ἀσίαν ἐν τῇ ἐν Σμύρνῃ ἐκκλησίᾳ ἐπίσκοπος,

4 »ὃν καὶ ἡμεῖς ἑοράκαμεν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ (ἐπὶ πολὺ γὰρ παρέμεινεν καὶ πάνυ γηραλέος ἐνδόξως καὶ ἐπιφανέστατα μαρτυρήσας, ἐξῆλθεν τοῦ βίου), ταῦτα διδάξας ἀεὶ ἃ καὶ παρὰ τῶν ἀποστόλων ἔμαθεν, ἃ καὶ ἡ ἐκκλησία παραδίδωσιν, ἃ καὶ μόνα ἐστὶν ἀληθῆ.

5 »μαρτυροῦσι τούτοις αἱ κατὰ τὴν Ἀσίαν ἐκκλησίαι πᾶσαι καὶ οἱ μέχρι νῦν διαδεδεγμένοι τὸν Πολύκαρπον, πολ-

[85] Cf. *infra* V 24,16.
[86] Cf. *supra* III 36,1.5.10.13ss.
[87] Cf. *infra* V 5,8; sobre la diferencia respecto del texto latino de Ireneo y de la versión de Rufino, así como el sentido que Ireneo quiso expresar, ver A. Orbe, *En torno a una noticia sobre Policarpo (Ireneo, «Adversus haereres» III 3,4)*: Augustinianum 35 (1995) 597-604.

mucho más digno de fe y mucho más seguro que Valentín, que Marción y que el resto, de juicio corrompido. Y hallándose de paso en Roma en tiempos de Aniceto, recondujo a muchos de los herejes susodichos[88] a la Iglesia de Dios, predicándoles que única y exclusivamente había recibido de los apóstoles esta verdad: lo que transmite la Iglesia.

6 »Y hay quienes le oyeron decir que Juan, el discípulo del Señor, yendo en Efeso a bañarse y habiendo visto a Cerinto dentro, saltó fuera de las termas sin haberse bañado y dijo: 'Huyamos, no sea que también las termas se vengan abajo al hallarse dentro Cerinto, el enemigo de la verdad'[89].

7 »Y el mismo Policarpo, una vez que Marción se le había hecho encontradizo y le había dicho: 'Reconócenos', le respondió: 'Te reconozco. Reconozco al primogénito de Satanás'. Era tal la cautela que tenían los apóstoles y sus discípulos para no comunicar ni siquiera de palabra con ningún falsificador de la verdad, que el mismo Pablo dijo: *Al hereje, después de una y otra advertencia, recházalo, pues sabes que el tal está pervertido y peca, condenándose a sí mismo*[90].

8 »Hay también una carta de Policarpo, escrita a los filipenses, importantísima, por la cual pueden aprender la índole de su fe y su mensaje de la verdad aquellos que lo quieran y que se preocupan de su propia salvación»[91].

9 Esto dice Ireneo. Por lo que hace a Policarpo, en la mencio-

λῷ ἀξιοπιστότερον καὶ βεβαιότερον ἀληθείας μάρτυρα ὄντα Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ τῶν λοιπῶν κακογνωμόνων· ὃς καὶ ἐπὶ Ἀνικήτου ἐπιδημήσας τῇ Ῥώμῃ, πολλοὺς ἀπὸ τῶν προειρημένων αἱρετικῶν ἐπέστρεψεν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ, μίαν καὶ μόνην ταύτην ἀλήθειαν κηρύξας ὑπὸ τῶν ἀποστόλων παρειληφέναι τὴν ὑπὸ τῆς ἐκκλησίας παραδεδομένην.

6 »καὶ εἰσὶν οἱ ἀκηκοότες αὐτοῦ ὅτι Ἰωάννης ὁ τοῦ κυρίου μαθητὴς ἐν τῇ Ἐφέσῳ πορευθεὶς λούσασθαι καὶ ἰδὼν ἔσω Κήρινθον ἐξήλατο τοῦ βαλανείου μὴ λουσάμενος, ἀλλ' ἐπειπών ‹φύγωμεν, μὴ καὶ το βαλανεῖον συμπέσῃ, ἔνδον ὄντος Κηρίνθου τοῦ τῆς ἀληθείας ἐχθροῦ›.

7 »καὶ αὐτὸς δὲ ὁ Πολύκαρπος Μαρκίωνι ποτε εἰς ὄψιν αὐτῷ ἐλθόντι καὶ φήσαντι ‹ἐπιγίνωσκε ἡμᾶς› ἀπεκρίθη ‹ἐπιγινώσκω ἐπιγινώσκω τὸν πρωτότοκον τοῦ σατανᾶ›. τοσαύτην οἱ ἀπόστολοι καὶ οἱ μαθηταὶ αὐτῶν ἔσχον εὐλάβειαν πρὸς τὸ μηδὲ μέχρι λόγου κοινωνεῖν τινι τῶν παραχαρασσόντων τὴν ἀλήθειαν, ὡς καὶ Παῦλος ἔφησεν ‹αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος›.

8 »ἔστιν δὲ καὶ ἐπιστολὴ Πολυκάρπου πρὸς Φιλιππησίους γεγραμμένη ἱκανωτάτη, ἐξ ἧς καὶ τὸν χαρακτῆρα τῆς πίστεως αὐτοῦ καὶ τὸ κήρυγμα τῆς ἀληθείας οἱ βουλόμενοι καὶ φροντίζοντες τῆς ἑαυτῶν σωτηρίας δύνανται μαθεῖν».

9 ταῦτα ὁ Εἰρηναῖος· ὁ γέ τοι Πολύκαρπος ἐν τῇ δηλωθείσῃ πρὸς Φιλιπ-

[88] Para lograr estos resultados, su paso por Roma debió de ser algo prolongado.
[89] Cf. *supra* III 28,6.
[90] Tit 3,10-11.
[91] SAN IRENEO, *Adv. haer.* 3,3,4; ver el texto de la carta en su edición bilingüe preparada por J. J. Ayán Calvo en la colección Fuentes Patrísticas, 1 (Madrid 1991) p.191-229.

nada carta suya a los filipenses, conservada hasta el presente, hace uso de algunos testimonios tomados de la primera carta de Pedro [92].

10 A Antonino, el llamado Pío, después de cumplidos sus veintidós años de gobierno, le sucedió su hijo Marco Aurelio Vero, también llamado Antonino, junto con su hermano Lucio [93].

15

[De cómo en tiempos de Vero sufrió Policarpo el martirio junto con otros en la ciudad de Esmirna]

1 En este tiempo [94] murió mártir Policarpo [95], cuando enormes persecuciones estaban perturbando Asia. Creo de todo punto necesario consignar en el recuento de la presente historia el relato de su fin, conservado todavía por escrito.

πησίους αὐτοῦ γραφῇ, φερομένῃ εἰς δεῦρο, κέχρηταί τισιν μαρτυρίαις ἀπὸ τῆς Πέτρου προτέρας ἐπιστολῆς.

10 Ἀντωνῖνον μὲν δὴ τὸν Εὐσεβῆ κληθέντα, εἰκοστὸν καὶ δεύτερον ἔτος τῆς ἀρχῆς διανύσαντα, Μάρκος Αὐρήλιος Οὐῆρος, ὁ καὶ Ἀντωνῖνος, υἱὸς αὐτοῦ, σὺν καὶ Λουκίῳ ἀδελφῷ διαδέχεται.

ΙΕ'

1 ἐν τούτῳ δὲ ὁ Πολύκαρπος μεγίστων τὴν Ἀσίαν ἀναθορυβησάντων διωγμῶν μαρτυρίῳ τελειοῦται, ἀναγκαιότατον δ' αὐτοῦ τὸ τέλος ἐγγράφως ἔτι φερόμενον ἡγοῦμαι δεῖν μνήμῃ τῆσδε τῆς ἱστορίας καταθέσθαι.

92 Policarpo, sin embargo, nunca indica que sean citas, hecho interesante para saber lo que Eusebio entiende por «testimonios» (μαρτυρίαις). La correspondencia de pasajes es: Policarpo, *Philip.* 1,3 (= 1 Pe 1,8.13); 2,1 (= 1 Pe 1,13.21); 2,2 (= 1 Pe 3,9); 5,3 (= 1 Pe 2,11); 7,2 (= 1 Pe 4,7); 8,1 (= 1 Pe 2,24.22); 10,2 (= 1 Pe 2,12).

93 Antonino Pío murió el 7 de marzo de 161, y le sucedió Marco Aurelio (más exactamente: Marco Elio Aurelio Antonino Vero, antes Marco Anio Catilio Vero o Verísimo: ¡no es de extrañar la confusión de Eusebio!); éste compartió la dignidad y la autoridad de augusto con su hermano adoptivo Lucio Vero (mejor: Lucio Elio Aurelio Cómodo, antes Lucio Coyonio Cómodo; el nombre de Vero se lo cedió Marco Aurelio al hacerlo coaugusto; cf. L. Homo, *Le Haut Empire* [París 1933] p.557); imperaron juntos hasta la muerte de L. Vero en 169; cf. W. Liebeman, *Fasti consulares imperii romani* (Bonn 1910) p.108. Ocho años después, Marco Aurelio asociará como coaugusto a su propio hijo Lucio Aurelio Cómodo Antonino, conocido por Cómodo. Cf. W. Goerlitz, *Marc-Aurèle, empereur et philosophe* (París 1962).

94 Tiempos de Marco Aurelio.

95 Eusebio, en su *Chronic. ad annum* 167: HELM, p.205, sitúa la muerte de Policarpo el año séptimo de Marco Aurelio y Lucio Vero, esto es, entre 161 y 169. Es una de las fechas más controvertidas por la crítica, a pesar de agotar todos los recursos disponibles hasta ahora. Las fechas más comúnmente admitidas, tras los trabajos de Waddington, Harnack, Turner, Lightfoot, Lawlor y otros, son el 23 de febrero de 155 o el 22 de febrero de 156, es decir, todavía bajo Antonino Pío, cuando Policarpo contaba ochenta y seis años de edad, supuesto su nacimiento en el 69-70 y dado por seguro su viaje a Roma antes de 154. La controversia se reanudó con el artículo de H. Grégoire-P. Orgels, *La véritable date du martyre de S. Polycarpe (23 février 177) et le Corpus Polycarpianum*: AB 69 (1951) 1-38. El desarrollo y resultados más recientes del debate, con selecta bibliografía, puede verse en la introducción a la edición bilingüe que J. J. Ayán Calvo ha hecho de la *Carta de la Iglesia de Esmirna a la Iglesia de Filomedio*, más conocida por «Martirio de Policarpo» (Fuentes Patrísticas, 1 [Madrid 1991]), p.238 y ss; cf. también la obra de S. Ronchey, *Indagine sul martirio di S. Policarpo. Critica storica e fortuna agiografica di un caso giudiziario in Asia Minore* = Istituto Storico-Italiano. Nuovi studi storici, 6 (Roma 1990).

2 La carta [96] está escrita en nombre de la Iglesia que él gobernaba, para las iglesias de (todo) [97] lugar y declara lo que a él se refiere en los términos siguientes:

3 «La iglesia de Dios que peregrina [98] en Esmirna a la iglesia de Dios que reside como forastera en Filomelio y a todas las comunidades de la santa Iglesia católica, forasteras en todo lugar: la misericordia, la paz y el amor de Dios Padre y de nuestro Señor Jesucristo se multipliquen [99]. Os escribimos, hermanos, cuanto se refiere a los que han sufrido martirio y al bienaventurado Policarpo, quien con su martirio, como si hubiera puesto su sello, ha hecho cesar la persecución» [100].

4 A continuación [101], y antes de referir lo de Policarpo, narran lo que atañe a los mártires y describen la constancia que mostraron ante los tormentos, pues cuentan que fueron pasmo de los que formaban círculo en torno a ellos y los contemplaban, ora dilacerados por los azotes hasta lo más profundo de sus venas y arterias, de modo que se podían observar los entresijos de su cuerpo, sus entrañas y sus miembros, ora a otros, extendidos sobre conchas marinas y puntas afiladas, y entregados por último como pasto a

2 ἔστιν δὲ ἡ γραφὴ ἐκ προσώπου ἧς αὐτὸς ἐκκλησίας ἡγεῖτο, καῖς κατὰ τόπον παροικίαις τὰ κατ' αὐτὸν ἀποσημαίνουσα διὰ τούτων

3 «Ἡ ἐκκλησία τοῦ θεοῦ ἡ παροικοῦσα Σμύρναν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ παροικούσῃ ἐν Φιλομηλίῳ καὶ πάσαις ταῖς κατὰ πάντα τόπον τῆς ἁγίας καθολικῆς ἐκκλησίας παροικίαις ἔλεος εἰρήνη καὶ ἀγάπη θεοῦ πατρὸς καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πληθυνθείη. ἐγράψαμεν ὑμῖν, ἀδελφοί, τὰ κατὰ τοὺς μαρτυρήσαντας καὶ τὸν μακάριον Πολύκαρπον, ὅστις ὥσπερ ἐπισφραγίσας διὰ τῆς μαρτυρίας αὐτοῦ κατέπαυσε τὸν διωγμόν».

4 τούτοις ἑξῆς πρὸ τῆς ἀμφὶ τοῦ Πολυκάρπου διηγήσεως τὰ κατὰ τοὺς λοιποὺς ἀνιστοροῦσι μάρτυρας, οἵας ἐνστάσεις πρὸς τὰς ἀλγηδόνας ἐνεδείξαντο, διαγράφοντες. καταπλῆξαι γάρ φασι τοὺς ἐν κύκλῳ περιεστῶτας, θεωμένους τοτὲ μὲν μάστιξι μέχρι καὶ τῶν ἐνδωτάτω φλεβῶν καὶ ἀρτηριῶν καταξαινομένους, ὡς ἤδη καὶ τὰ ἐν μυχοῖς ἀπόρρητα τοῦ σώματος σπλάγχνα τε αὐτῶν καὶ μέλη κατοπτεύεσθαι, τοτὲ δὲ τοὺς ἀπὸ θαλάττης κήρυκας καί τινας ὀξεῖς ὀβελίσκους ὑποστρωννυμένους, καὶ διὰ παντὸς εἰ-

[96] Sobre esta carta, véase H. DELEHAYE, *Les passions des martyrs et les genres littéraires* (Bruselas 1921) p.11-27; P. N. HARRISON, *Polycarp's Two Epistles to the Philipians* (Cambridge 1936) p.268-283.

[97] Los Mss omiten πάντα, pero lo encontramos en el párrafo 3, en el encabezamiento de la carta. El grupo ABDM y las versiones SL leen κατὰ πόντον; sin embargo, Filomelio —único nombre expreso entre los destinatarios—no está precisamente en el Ponto, sino en Frigia.

[98] El verbo παροικέω, denominativo de πάροικος, término jurídico griego que designa al forastero domiciliado sólo transitoriamente, sin el título y sin los derechos de ciudadanía, ha sido utilizado ya desde el comienzo de la literatura cristiana (cf. 1 *Clement.* 1,1), como el término que mejor expresa la condición del cristiano en este mundo, lugar de peregrinación en el que sólo cabe domiciliarse transitoriamente, sin pretensiones de ciudadanía permanente. Es el sentido que damos a «peregrinar».

[99] Cf. Jds 2.

[100] *Martyr. Polyc.* 1. Es la primera cita literal, aunque con bastantes variantes respecto del texto del *Martyrium.* Lo mismo ocurrirá con las demás citas intercaladas en el «resumen» que quiere darnos, y que resulta casi tan largo como el original, gracias a sus ampliaciones, adiciones y glosas, tan extensas—y a veces tan significativas—como las omisiones.

[101] En los párrafos 4-9, Eusebio resume el *Martyr. Polyc.* 2-7.

las fieras, tras haber pasado por castigos y tormentos de toda especie.

5 Y cuentan que se distinguió muy especialmente el nobilísimo Germánico, quien, con ayuda de la gracia divina, se sobrepuso a la natural cobardía ante la muerte de su cuerpo. El procónsul quería persuadirle y alegaba como pretexto su edad, y le suplicaba que, pues se hallaba en plena flor de su juventud, tuviera compasión de sí mismo; pero él no vaciló, sino que, animosamente, atrajo hacia sí a las fieras, casi forzándolas y azuzándolas, para poder alejarse más rápidamente de la vida injusta y criminal de aquéllos.

6 Ante la gloriosa muerte de este hombre, la muchedumbre toda se pasmó viendo la valentía del mártir divino y la virtud de todo el linaje de los cristianos, y todos a una comenzaron a gritar: '¡Mueran los ateos! ¡Que se busque a Policarpo!'

7 Y habiéndose creado con el griterío una gran confusión, cierto hombre de Frigia, llamado Quinto, llegado recientemente de Frigia, al ver las fieras y lo demás que amenazaba, sintió ablandársele el alma presa del miedo y terminó por abandonar su salvación.

8 Pero el relato del escrito susodicho demuestra que este hombre se lanzó ante el tribunal con los demás bastante precipitadamente y no con la cautela debida. Así, pues, una vez apresado, proporcionó a todos un ejemplo manifiesto de que no es lícito arriesgarse en tales empresas temeraria e incautamente. Así terminaba lo que se refería a estos hombres.

9 Por lo que hace al admirabilísimo Policarpo, al pronto, cuando oyó estas cosas, no se turbó; siguió observando firme e inmuta-

δους κολάσεων καὶ βασάνων προϊόντας καὶ τέλος θηρσὶν εἰς βορὰν παραδιδομένους.

5 μάλιστα δὲ ἱστοροῦσιν διαπρέψαι τὸν γενναιότατον Γερμανικόν, ὑπορρωννύντα σὺν θείᾳ χάριτι τὴν ἔμφυτον περὶ τὸν θάνατον τοῦ σώματος δειλίαν. βουλομένου γέ τοι τοῦ ἀνθυπάτου πείθειν αὐτὸν προβαλλομένου τε τὴν ἡλικίαν καὶ ἀντιβολοῦντος κομιδῇ νέον ὄντα καὶ ἀκμαῖον οἶκτον ἑαυτοῦ λαβεῖν, μὴ μελλῆσαι, προθύμως δ' ἐπισπάσασθαι εἰς ἑαυτὸν τὸ θηρίον, μόνον οὐχὶ βιασάμενον καὶ παροξύναντα, ὡς ἂν τάχιον τοῦ ἀδίκου καὶ ἀνόμου βίου αὐτῶν ἀπαλλαγείη.

6 τούτου δ' ἐπὶ τῷ διαπρεπεῖ θανάτῳ τὸ πᾶν πλῆθος ἀποθαυμάσαν τῆς ἀνδρείας τὸν θεοφιλῆ μάρτυρα καὶ τὴν καθόλου τοῦ γένους τῶν Χριστιανῶν ἀρετήν, ἀθρόως ἐπιβοᾶν ἄρξασθαι «αἶρε τοὺς ἀθέους· ζητείσθω Πολύκαρπος».

7 καὶ δὴ πλείστης ἐπὶ ταῖς βοαῖς γενομένης ταραχῆς, Φρύγα τινὰ τὸ γένος, Κόϊντον τοὔνομα, νεωστὶ ἐκ τῆς Φρυγίας ἐπιστάντα, ἰδόντα τοὺς θῆρας καὶ τὰς ἐπὶ τούτοις ἀπειλάς, καταπτῆξαι τὴν ψυχὴν μαλακισθέντα καὶ τέλος τῆς σωτηρίας ἐνδοῦναι.

8 ἐδήλου δὲ τοῦτον ὁ τῆς προειρημένης γραφῆς λόγος προπετέστερον ἀλλ' οὐ κατ' εὐλάβειαν ἐπιπηδῆσαι τῷ δικαστηρίῳ σὺν ἑτέροις, ἁλόντα δ' οὖν ὅμως καταφανὲς ὑπόδειγμα τοῖς πᾶσιν παρασχεῖν, ὅτι μὴ δέοι τοῖς τοιούτοις ῥιψοκινδύνως καὶ ἀνευλαβῶς ἐπιτολμᾶν. ἀλλὰ ταύτῃ μὲν εἶχεν πέρας τὰ κατὰ τούτους·

9 τόν γε μὴν θαυμασιώτατον Πολύκαρπον τὰ μὲν πρῶτα τούτων ἀκούσαντα ἀτάραχον μεῖναι, εὐσταθὲς τὸ ἦθος καὶ

blemente sus costumbres y quería permanecer allí, en la ciudad. Mas persuadido por las súplicas de los que le rodeaban y por los que le exhortaban a alejarse en secreto, se retiró a una finca no muy distante de la ciudad, y allí pasaba su tiempo en compañía de unos pocos, no haciendo otra cosa noche y día que perseverar en la oración al Señor. En ella pedía y suplicaba la paz, reclamándola para las iglesias de todo el universo, cosa, por lo demás, que de siempre fue costumbre suya.

10 Y fue mientras oraba, en visión que tuvo de noche tres días antes de su prendimiento, cuando vio que la almohada de su cabecera se consumía por completo abrasada por el fuego. Despertado ante el hecho, al punto interpretó para los presentes lo ocurrido, adivinando casi el porvenir, y anunció claramente a los circunstantes que él había de morir por Cristo en el fuego.

11 Así, pues, cuando los que andaban buscándole con toda presteza se hallaban ya encima, se dice que él se mudó a otra finca, forzado nuevamente por la disposición y el amor de los hermanos, y allí se personaron no mucho después los perseguidores, que detuvieron a dos criados. A uno de ellos lo sometieron a torturas y por él dieron con el paradero de Policarpo.

12 Como se presentaron a una hora tardía, lo encontraron acostado en una habitación del piso superior, desde donde le era posible pasarse a otra casa; pero no quiso hacerlo y dijo: '¡Cúmplase la voluntad de Dios!' [102]

ἀκίνητον φυλάξαντα, βούλεσθαί τε αὐτοῦ κατὰ πόλιν περιμένειν· πεισθέντα γε μὴν ἀντιβολοῦσι τοῖς ἀμφ' αὐτὸν καὶ ὡς ἂν ὑπεξέλθοι παρακαλοῦσι, προελθεῖν εἰς οὐ πόρρω διεστῶτα τῆς πόλεως ἀγρὸν διατρίβειν τε σὺν ὀλίγοις ἐνταῦθα, νύκτωρ καὶ μεθ' ἡμέραν οὔτι ἕτερον πράττοντα ἢ ταῖς πρὸς τὸν κύριον διακαρτεροῦντα εὐχαῖς· δι' ὧν δεῖσθαι καὶ ἱκετεύειν εἰρήνην ἐξαιτούμενον ταῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαις, τοῦτο γὰρ καὶ εἶναι ἐκ τοῦ παντὸς αὐτῷ σύνηθες.

10 καὶ δὴ εὐχόμενον, ἐν ὀπτασίᾳ τριῶν πρότερον ἡμερῶν τῆς συλλήψεως νύκτωρ ἰδεῖν τὸ ὑπὸ κεφαλῆς αὐτῷ στρῶμα ἀθρόως οὕτως ὑπὸ πυρὸς φλεχθὲν δεδαπανῆσθαι, ἔξυπνον δ' ἐπὶ τούτῳ γενόμενον, εὐθὺς ὑφερμηνεῦσαι τοῖς παροῦσι τὸ φανέν, μόνον οὐχὶ τὸ μέλλον προθεσπίσαντα σαφῶς τε ἀνειπόντα τοῖς ἀμφ' αὐτὸν ὅτι δέοι αὐτὸν διὰ Χριστὸν πυρὶ τὴν ζωὴν μεταλλάξαι.

11 ἐπικειμένων δὴ οὖν σὺν πάσῃ σπουδῇ τῶν ἀναζητούντων αὐτόν, αὖθις ὑπὸ τῆς τῶν ἀδελφῶν διαθέσεως καὶ στοργῆς ἐκβεβιασμένον μεταβῆναί φασιν ἐφ' ἕτερον ἀγρόν· ἔνθα μετ' οὐ πλεῖστον τοὺς συνελαύνοντας ἐπελθεῖν, δύο δὲ τῶν αὐτόθι συλλαβεῖν παίδων· ὧν θάτερον αἰκισαμένους ἐπιστῆναι δι' αὐτοῦ τῇ τοῦ Πολυκάρπου καταγωγῇ.

12 ὀψὲ δὲ τῆς ὥρας ἐπελθόντας, αὐτὸν μὲν εὑρεῖν ἐν ὑπερῴῳ κατακείμενον, ὅθεν δυνατὸν ὂν αὐτῷ ἐφ' ἑτέραν μεταστῆναι οἰκίαν, μὴ βεβουλῆσθαι, εἰπόντα «τὸ θέλημα τοῦ θεοῦ γινέσθω.»

[102] Cf. Act 21,14; sobre el influjo de los sueños en los mártires, cf. C. MERTENS, *Les premiers martyrs et leurs rêves. Cohésion de l'histoire et des rêves dans quelques «passions» latines de l'Afrique du Nord:* RHE 81 (1986) 5-46.

13 Efectivamente, cuando se enteró de que estaban allí—como dice el relato—, bajó y se puso a conversar con ellos, con el rostro radiante y lleno de suavidad, de suerte que aquellos que anteriormente no le conocían creían estar viendo un prodigio, al considerar su avanzada edad y su porte venerable y firme, y se admiraban de tanto afán por prender a un anciano.

14 Pero él, sin tardar, manda al punto que les pongan la mesa; luego les invita a participar del abundante yantar y les pide una sola hora para poder orar tranquilo. Como ellos se lo permitieron, se levantó y se puso a orar, lleno de la gracia de Dios. Los presentes estaban asombrados oyéndole rezar, y muchos de ellos se arrepentían ya de que hubiera de ser ejecutado un anciano tan venerable y digno de Dios.

15 Después de lo dicho, el escrito que trata de él, continúa la narración literalmente como sigue:

«Cuando terminó su oración, después de hacer memoria de todos cuantos en su vida había tratado, pequeños y grandes, ilustres y plebeyos, y de toda la Iglesia católica esparcida por toda la tierra habitada, cuando llegó la hora de partir [103], lo sentaron a lomos de un asno y lo condujeron a la ciudad. Era día de gran sábado [104]. Le salieron al encuentro el irenarca [105] Herodes y su padre, Nicetas, lo hicieron subir a su carro, lo sentaron a su lado y trataban de persuadirle diciendo: '¿Pero qué mal hay en decir: ¡César es el Señor! y en sacrificar y con ello salvar la vida'?

13 καὶ δὴ μαθὼν παρόντας, ὡς ὁ λόγος φησί, καταβὰς αὐτοῖς διελέξατο εὖ μάλα φαιδρῷ καὶ πραοτάτῳ προσώπῳ, ὡς καὶ θαῦμα δοκεῖν ὁρᾶν τοὺς πάλαι τοῦ ἀνδρὸς ἀγνῶτας, ἐναποβλέποντας τῷ τῆς ἡλικίας αὐτοῦ παλαιῷ καὶ τῷ σεμνῷ καὶ εὐσταθεῖ τοῦ τρόπου, καὶ εἰ τοσαύτη γένοιτο σπουδὴ ὑπὲρ τοῦ τοιοῦτον συλληφθῆναι πρεσβύτην.

14 ὁ δ' οὐ μελλήσας εὐθέως τράπεζαν αὐτοῖς παρατεθῆναι προστάττει, εἶτα τροφῆς ἀφθόνου μεταλαβεῖν ἀξιοῖ, μίαν τε ὥραν, ὡς ἂν προσεύξοιτο ἀδεῶς, παρ' αὐτῶν αἰτεῖται· ἐπιτρεψάντων δὲ ἀναστὰς ηὔχετο, ἔμπλεως τῆς χάριτος ὢν τοῦ κυρίου, ὡς ἐκπλήττεσθαι τοὺς παρόντας εὐχομένου αὐτοῦ ἀκροωμένους πολλούς τε αὐτῶν μετανοεῖν ἤδη ἐπὶ τῷ τοιοῦτον ἀναιρεῖσθαι μέλλειν σεμνὸν καὶ θεοπρεπῆ πρεσβύτην.

15 ἐπὶ τούτοις ἡ περὶ αὐτοῦ γραφὴ κατὰ λέξιν ὧδέ πως τὰ ἑξῆς τῆς ἱστορίας ἔχει

«ἐπεὶ δέ ποτε κατέπαυσε τὴν προσευχὴν μνημονεύσας ἁπάντων καὶ τῶν πώποτε συμβεβληκότων αὐτῷ, μικρῶν τε καὶ μεγάλων, ἐνδόξων τε καὶ ἀδόξων, καὶ πάσης τῆς κατὰ τὴν οἰκουμένην καθολικῆς ἐκκλησίας, τῆς ὥρας ἐλθούσης τοῦ ἐξιέναι, ὄνῳ καθίσαντες αὐτὸν ἤγαγον εἰς τὴν πόλιν, ὄντος σαββάτου μεγάλου. καὶ ὑπήντα αὐτῷ ὁ εἰρήναρχος Ἡρῴδης καὶ ὁ πατὴρ αὐτοῦ Νικήτης· οἳ καὶ μεταθέντες αὐτὸν εἰς τὸ ὄχημα, ἔπειθον παρακαθεζόμενοι καὶ λέγοντες ‹τί γὰρ κακόν ἐστιν εἰπεῖν, κύριος Καῖσαρ, καὶ θῦσαι καὶ διασῴζεσθαι;›

[103] Cf. Jn 17,1.

[104] Según *Martyr. Polyc.* 21, coincidía con el 2 de Jantipo.

[105] El «irenarca», nombrado por el procónsul, era una especie de comisario de policía para guardar el orden público de las ciudades.

16 »Policarpo, al principio, no contestaba, pero al insistir ellos, dijo: 'No tengo intención de hacer lo que me aconsejáis'. Al no lograr su intento de persuadirle, comenzaron a decirle palabras terribles y le hicieron bajar a toda prisa, tanto que al descender del carro se hizo un rasguño en la espinilla. Pero él, sin volverse, como si nada le hubiera ocurrido, se puso animosamente a caminar con prisa, conducido al estadio.

17 »Era tal el ruido en el estadio, que muchos no podían oír. Al entrar Policarpo en el estadio, sobrevino una voz del cielo: '¡Sé fuerte, Policarpo, y pórtate como un hombre!' [106]. Nadie vio al que habló, pero muchos de los nuestros oyeron la voz.

18 »Cuando le iban conduciendo se armó un gran tumulto por parte de los que se enteraban de que habían prendido a Policarpo. Luego, cuando se hubo aproximado, le preguntó el procónsul si era él Policarpo. Habiéndolo él confesado, aquél intentó persuadirle a que renegase, diciendo: 'Ten consideración a tu edad', y otras cosas parecidas a éstas, como tienen por costumbre decir: 'Jura por el genio del césar. Cambia de pensar'. Di: '¡Mueran los ateos!'

19 »Mas Policarpo miró con rostro severo a toda la chusma que se hallaba en el estadio, agitó hacia ellos su mano y, entre sollozos y alzando la vista al cielo [107], dijo: ¡Mueran los ateos!

20 »Pero al urgirle el gobernador y decirle: 'Jura y te soltaré; maldice a Cristo', Policarpo dijo: 'Ochenta y seis años vengo sir-

16 »ὁ δὲ τὰ μὲν πρῶτα οὐκ ἀπεκρίνατο, ἐπιμενόντων δὲ αὐτῶν, ἔφη ‹οὐ μέλλω πράττειν ὃ συμβουλεύετέ μοι›. οἱ δὲ ἀποτυχόντες τοῦ πεῖσαι αὐτόν, δεινὰ ῥήματα ἔλεγον καὶ μετὰ σπουδῆς καθῄρουν, ὡς κατιόντα ἀπὸ τοῦ ὀχήματος ἀποσῦραι τὸ ἀντικνήμιον· ἀλλὰ γὰρ μὴ ἐπιστραφείς, οἷα μηδὲν πεπονθώς, προθύμως μετὰ σπουδῆς ἐπορεύετο, ἀγόμενος εἰς τὸ στάδιον.

17 »θορύβου δὲ τηλικούτου ὄντος ἐν τῷ σταδίῳ, ὡς μηδὲ πολλοῖς ἀκουσθῆναι, τῷ Πολυκάρπῳ εἰσιόντι εἰς τὸ στάδιον φωνὴ ἐξ οὐρανοῦ γέγονεν ‹ἴσχυε, Πολύκαρπε, καὶ ἀνδρίζου›. καὶ τὸν μὲν εἰπόντα οὐδεὶς εἶδεν, τὴν δὲ φωνὴν τῶν ἡμετέρων πολλοὶ ἤκουσαν.

18 »προσαχθέντος οὖν αὐτοῦ, θόρυβος ἦν μέγας ἀκουσάντων ὅτι Πολύκαρπος συνείληπται. λοιπὸν οὖν προσελθόντα ἀνηρώτα ὁ ἀνθύπατος εἰ αὐτὸς εἴη Πολύκαρπος, καὶ ὁμολογήσαντος, ἔπειθεν ἀρνεῖσθαι, λέγων ‹αἰδέσθητί σου τὴν ἡλικίαν› καὶ ἕτερα τούτοις ἀκόλουθα, ἃ σύνηθες αὐτοῖς ἐστι λέγειν, ‹ὄμοσον τὴν Καίσαρος τύχην, μετανόησον, εἶπον, αἶρε τοὺς ἀθέους›.

19 »ὁ δὲ Πολύκαρπος ἐμβριθεῖ τῷ προσώπῳ εἰς πάντα τὸν ὄχλον τὸν ἐν τῷ σταδίῳ ἐμβλέψας, ἐπισείσας αὐτοῖς τὴν χεῖρα στενάξας τε καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, εἶπεν ‹αἶρε τοὺς ἀθέους›.

20 »ἐγκειμένου δὲ τοῦ ἡγουμένου καὶ λέγοντος ‹ὄμοσον, καὶ ἀπολύσω σε, λοιδόρησον τὸν Χριστόν›, ἔφη ὁ Πολύκαρπος ‹ὀγδοήκοντα καὶ ἓξ ἔτη δουλεύω αὐτῷ, καὶ οὐδέν με ἠδίκησεν· καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου, τὸν σώσαντά με;›

[106] Cf. Jos 1,9; Act 9,7.
[107] Cf. Mc 7,34.

viéndole y ningún mal me hizo. ¿Y cómo puedo blasfemar contra mi rey, que me ha salvado?'

21 »Como insistiese de nuevo el procónsul y dijese: '¡Jura por la suerte del césar!', Policarpo replicó: 'Si abrigas la vana pretensión de que yo jure por el genio del césar, como tú dices, simulando que ignoras quién soy yo, con franqueza, escucha: soy cristiano. Pero si es que quieres aprender la doctrina del cristianismo, dame un día y escucha'.

22 »Dijo el procónsul: 'Convence al pueblo'. Policarpo replicó: 'A ti te considero digno de mi discurso, pues se nos ha enseñado rendir el honor debido a las autoridades y potestades establecidas por Dios[108], mientras no sea en detrimento nuestro; pero a ésos no les considero dignos de que me defienda ante ellos'.

23 »Y el procónsul dijo: 'Tengo fieras. A ellas te arrojaré si no mudas tu parecer'. Pero él respondió: 'Llámalas, porque para nosotros no es posible cambiar de parecer si se va de lo mejor a lo peor. Lo bueno es cambiar de lo malo a lo justo'.

24 »Insistió el procónsul: 'Como no te arrepientas, haré que el fuego te domeñe si desprecias las fieras'. Policarpo dijo: 'Amenazas con un fuego que arde algún tiempo, mas al cabo de poco se apaga. Y es que ignoras el fuego del juicio futuro y del castigo eterno, reservado a los impíos. Pero ¿por qué tardas? Trae lo que quieras'.

25 »Mientras decía esto y otras muchas cosas más, se iba llenando de valor y de alegría, y su rostro rebosaba de gracia, hasta el punto de que no solamente no cayó él en la confusión por las cosas que se le decían, sino que, al contrario, fue el procónsul quien

21 »ἐπιμένοντος δὲ πάλιν αὐτοῦ καὶ λέγοντος ‹ὄμοσον τὴν Καίσαρος τύχην›, ὁ Πολύκαρπος ‹εἰ κενοδοξεῖς›, φησίν, ‹ἵνα ὀμόσω τὴν Καίσαρος τύχην, ὡς λέγεις προσποιούμενος ἀγνοεῖν ὅστις εἰμί, μετὰ παρρησίας ἄκουε· Χριστιανός εἰμι. εἰ δὲ θέλεις τὸν τοῦ Χριστιανισμοῦ μαθεῖν λόγον, δὸς ἡμέραν καὶ ἄκουσον›.

22 »ἔφη ὁ ἀνθύπατος ‹πεῖσον τὸν δῆμον›. Πολύκαρπος ἔφη ‹σὲ μὲν καὶ λόγου ἠξίωκα, δεδιδάγμεθα γὰρ ἄρχαῖς καὶ ἐξουσίαις ὑπὸ θεοῦ τεταγμέναις τιμὴν κατὰ τὸ προσῆκον τὴν μὴ βλάπτουσαν ἡμᾶς ἀπονέμειν· ἐκείνους δὲ οὐκ ἀξίους ἡγοῦμαι τοῦ ἀπολογεῖσθαι αὐτοῖς›.

23 »ὁ δ' ἀνθύπατος εἶπεν ‹θηρία ἔχω· τούτοις σε παραβαλῶ, ἐὰν μὴ μετανοήσῃς›. ὁ δὲ εἶπεν ‹κάλει· ἀμετάθετος γὰρ ἡμῖν ἡ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω μετάνοια, καλὸν δὲ μετατίθεσθαι ἀπὸ τῶν χαλεπῶν ἐπὶ τὰ δίκαια›.

24 »ὁ δὲ πάλιν πρὸς αὐτὸν ‹πυρί σε ποιήσω δαμασθῆναι, ἐὰν τῶν θηρίων καταφρονῇς, ἐὰν μὴ μετανοήσῃς.› Πολύκαρπος εἶπεν ‹πῦρ ἀπειλεῖς πρὸς ὥραν καιόμενον καὶ μετ' ὀλίγον σβεννύμενον· ἀγνοεῖς γὰρ τὸ τῆς μελλούσης κρίσεως καὶ αἰωνίου κολάσεως τοῖς ἀσεβέσι τηρούμενον πῦρ. ἀλλὰ τί βραδύνεις; φέρε ὃ βούλει›.

25 »ταῦτα δὲ καὶ ἕτερα πλείονα λέγων, θάρσους καὶ χαρᾶς ἐνεπίμπλατο καὶ τὸ πρόσωπον αὐτοῦ χάριτος ἐπληροῦτο, ὥστε μὴ μόνον μὴ συμπεσεῖν ταραχθέντα ὑπὸ τῶν λεγομένων πρὸς αὐτόν, ἀλλὰ τοὐναντίον τὸν ἀνθύπατον ἐκστῆναι πέμ-

[108] Cf. Rom 13,1; 1 Pe 2,13.

se puso fuera de sí y llamó al heraldo para que en medio del estadio pregonara tres veces: 'Policarpo ha confesado que él es cristiano'.

26 »Cuando el heraldo hubo dicho esto, toda la chusma de gentiles y de judíos [109] que habitaban Esmirna se puso a gritar con el ánimo desbocado y gran vocerío: 'Este es el maestro de Asia, el padre de los cristianos, el destructor de nuestros dioses, el que ha enseñado a muchos a no sacrificar y a no adorar'.

27 »A la vez que decían esto, gritaban más y más, y pedían al asiarca [110] Felipe que lanzase un león contra Policarpo. Dijo él que no podía, por estar concluido el combate de fieras. Entonces les pareció bien ponerse todos a gritar a una que se quemara vivo a Policarpo.

28 »Y es que debía cumplirse lo de la visión que tuvo relativa a su almohada cuando, mientras oraba, la vio consumirse abrasada y, volviéndose hacia los fieles que estaban con él, les dijo en tono profético: 'Tengo que ser quemado vivo'.

29 »Esto, pues, se hizo más de prisa que se dijo. Las turbas atroparon de los talleres y de los baños madera y leña menuda. Los más entusiastas en colaborar a la tarea fueron, como acostumbran, los judíos.

30 »Cuando la hoguera estuvo lista, Policarpo se despojó de todos sus vestidos y, desciñéndose, trataba de soltar su calzado también, cosa que antes no hacía porque siempre cada fiel se afanaba por ser él quien primero tocase su piel; porque en todo momento,

ψαι τε τὸν κήρυκα καὶ ἐν μήσῳ τῷ σταδίῳ κηρῦξαι τρίς ‹Πολύκαρπος ὡμολόγησεν ἑαυτὸν Χριστιανὸν εἶναι›.

26 »τούτου λεχθέντος ὑπὸ τοῦ κήρυκος, πᾶν τό πλῆθος ἐθνῶν τε καὶ Ἰουδαίων τῶν τὴν Σμύρναν κατοικούντων ἀκατασχέτῳ θυμῷ καὶ μεγάλῃ φωνῇ ἐβόα ‹οὗτός ἐστιν ὁ τῆς Ἀσίας διδάσκαλος, ὁ πατὴρ τῶν Χριστιανῶν, ὁ τῶν ἡμετέρων θεῶν καθαιρέτης, ὁ πολλοὺς διδάσκων μὴ θύειν μηδὲ προσκυνεῖν›.

27 »ταῦτα λέγοντες, ἐπεβόων καὶ ἠρώτων τὸν ἀσιάρχην Φίλιππον ἵνα ἐπαφῇ τῷ Πολυκάρπῳ λέοντα· ὁ δὲ ἔφη μὴ εἶναι ἐξὸν αὐτῷ, ἐπειδὴ πεπληρώκει τὰ κυνηγέσια. τότε ἔδοξεν αὐτοῖς ὁμοθυμαδὸν ἐπιβοῆσαι ὥστε ζῶντα τὸν Πολύκαρπον κατακαῦσαι.

28 »ἔδει γάρ τὸ τῆς φανερωθείσης αὐτῷ ἐπὶ τοῦ προσκεφαλαίου ὀπτασίας πληρωθῆναι, ὅτε ἰδὼν αὐτὸ καιόμενον προσευχόμενος, εἶπεν ἐπιστραφεὶς τοῖς μετ' αὐτοῦ πιστοῖς προφητικῶς ‹δεῖ με ζῶντα καῆναι›.

29 »ταῦτα οὖν μετὰ τοσούτου τάχους ἐγένετο θᾶττον ἢ ἐλέγετο, τῶν ὄχλων παραχρῆμα συναγόντων ἐκ τῶν ἐργαστηρίων καὶ ἐκ τῶν βαλανείων ξύλα καὶ φρύγανα, μάλιστα Ἰουδαίων προθύμως, ὡς ἔθος αὐτοῖς, εἰς ταῦτα ὑπουργούντων.

30 »ἀλλ' ὅτε ἡ πυρὰ ἡτοιμάσθη, ἀποθέμενος ἑαυτῷ πάντα τὰ ἱμάτια καὶ λύσας τὴν ζώνην, ἐπειρᾶτο καὶ ὑπολύειν ἑαυτόν, μὴ πρότερον τοῦτο ποιῶν διὰ τὸ ἀεὶ ἕκαστον τῶν πιστῶν σπουδάζειν ὅστις τάχιον τοῦ χρωτὸς αὐτοῦ ἐφάψη-

[109] Es de notar el importante papel de la colonia judía de Esmirna en este martirio; cf. *infra* párrafo 29.41.43; cf. también TERTULIANO, *Scorp.* 10; M. SIMON, *Verus Israel* (París 1948) p.150ss.

[110] El «asiarca» era presidente del concilio de la provincia de Asia (cf. *supra* 12 nota 75) y, como tal, sumo sacerdote (cf. *Martyr. Polyc.* 21) y director de los juegos públicos.

antes incluso de peinar canas, se le había honrado a causa de su santa vida.

31 »En seguida, pues, fueron colocando en torno a él los instrumentos preparados para la hoguera, mas, cuando ya iban incluso a clavarlo, díjoles él: 'Dejadme así, porque quien me da el esperar a pie firme el fuego, me dará también, sin que sea necesaria la seguridad de vuestros clavos, el mantenerme firme en la hoguera. Y no lo clavaron, sino que le ataron.

32 »Con sus manos a la espalda y amarrado como un carnero egregio que es sacado de un gran rebaño como holocausto [111] aceptable a Dios todopoderoso, dijo:

33 »'Padre de tu amado y bendito Hijo Jesucristo, por quien hemos recibido el conocimiento acerca de ti, Dios de los ángeles, de las potestades, de toda la creación y de toda la raza de los justos que viven en presencia tuya: Te bendigo porque me has juzgado digno de este día y de esta hora, para tener parte, entre el número de los mártires, en el cáliz de tu Cristo para resurrección de vida eterna, tanto del alma como del cuerpo, en la incorrupción del Espíritu Santo.

34 »¡Ojalá sea yo recibido en tu presencia hoy, con ellos, en sacrificio pingüe y aceptable!, según lo preparaste de antemano, como de antemano lo manifestaste y lo cumpliste, ¡oh Dios sin mentira y veraz!

35 »Por esta razón, y por todas las cosas, te alabo, te bendigo, te glorifico, por medio del eterno y sumo sacerdote Jesucristo, tu

ται. ἐν παντὶ γὰρ ἀγαθῆς ἕνεκεν πολιτείας καὶ πρὸ τῆς πολιᾶς ἐκεκόσμητο.

31 »εὐθέως οὖν αὐτῷ περιετίθετο τὰ πρὸς τὴν πυρὰν ἡρμοσμένα ὄργανα· μελλόντων δὲ αὐτῶν καὶ προσηλοῦν αὐτόν, εἶπεν ‹ἄφετέ με οὕτως· ὁ γὰρ διδοὺς ὑπομεῖναι τὸ πῦρ δώσει καὶ χωρὶς τῆς ὑμετέρας ἐκ τῶν ἥλων ἀσφαλείας ἀσκύλτως ἐπιμεῖναι τῇ πυρᾷ›. οἱ δὲ οὐ καθήλωσαν, προσέδησαν δὲ αὐτόν.

32 »ὁ δ' ὀπίσω τὰς χεῖρας ποιήσας καὶ προσδεθεὶς ὥσπερ κριὸς ἐπίσημος, ἀναφερόμενος ἐκ μεγάλου ποιμνίου ὁλοκαύτωμα δεκτὸν θεῷ παντοκράτορι,

33 »εἶπεν ‹ὁ τοῦ ἀγαπητοῦ καὶ εὐλογητοῦ παιδός σου Ἰησοῦ Χριστοῦ πατήρ, δι' οὗ τὴν περὶ σὲ ἐπίγνωσιν εἰλήφαμεν, ὁ θεὸς ἀγγέλων καὶ δυνάμεων καὶ πάσης κτίσεως παντός τε τοῦ γένους τῶν δικαίων οἳ ζῶσιν ἐνώπιόν σου, εὐλογῶ σε ὅτι ἠξίωσάς με τῆς ἡμέρας καὶ ὥρας ταύτης, τοῦ λαβεῖν μέρος ἐν ἀριθμῷ τῶν μαρτύρων ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ σου εἰς ἀνάστασιν ζωῆς αἰωνίου

34 »ψυχῆς τε καὶ σώματος ἐν ἀφθαρσίᾳ πνεύματος ἁγίου· ἐν οἷς προσδεχθείην ἐνώπιόν σου σήμερον ἐν θυσίᾳ πίονι καὶ προσδεκτῇ, καθὼς προητοίμασας,

35 »προφανερώσας καὶ πληρώσας ὁ ἀψευδὴς καὶ ἀληθινὸς θεός. διὰ τοῦτο καὶ περὶ πάντων σὲ αἰνῶ, σὲ εὐλογῶ, σὲ δοξάζω διὰ τοῦ αἰωνίου ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ ἀγαπητοῦ σου παιδός, δι' οὗ σοι σὺν αὐτῷ ἐν πνεύματι ἁγίῳ δόξα καὶ νῦν καὶ εἰς τοὺς μέλλοντας αἰῶνας, ἀμήν›.

[111] Cf. Sab 3,6.

Hijo amado, por el cual sea gloria a ti, con El en el Espíritu Santo, ahora y en los siglos venideros. Amén'.

36 »Cuando hubo pronunciado el 'amén' y terminado su oración, los encargados del fuego encendieron el fuego, mas, haciéndose una gran llamarada, vimos un prodigio, aquellos a quienes fue dado verlo y que hemos sido conservados para anunciar a los demás lo ocurrido.

37 »Y es que el fuego, formando una especie de bóveda, como la vela de un navío henchida por el viento, protegió el cuerpo del mártir como una muralla en torno. Y él estaba en medio, no como carne quemada, sino como oro y plata candentes en el horno [112]. Y nosotros, a la verdad, percibíamos una fragancia tal, como exhalada por el incienso o por cualquier otro aroma precioso.

38 »Al fin, viendo aquellos impíos que el cuerpo no podía ser consumido por el fuego, ordenaron al *confector* [113] que se acercase y hundiera en él su espada;

39 »hecho lo cual, brotó un caudal de sangre, tan grande que apagó el fuego y dejó asombrada a toda la muchedumbre que veía la gran diferencia entre los infieles y los elegidos. Uno de éstos fue este hombre, admirable por lo demás, maestro apostólico y profético de nuestros días, obispo [114] que fue de la iglesia católica de Esmirna. Efectivamente, toda palabra que salió de su boca se ha cumplido y se cumplirá.

40 »Mas el rival y envidioso maligno, adversario de la raza de los justos, al ver la grandeza de su martirio y la vida irreprochable

36 »ἀναπέμψαντος δὲ αὐτοῦ τὸ ἀμὴν καὶ πληρώσαντος τὴν προσευχήν, οἱ τοῦ πυρὸς ἄνθρωποι ἐξῆψαν τὸ πῦρ, μεγάλης δὲ ἐκλαμψάσης φλογὸς θαῦμα εἴδομεν οἷς ἰδεῖν ἐδόθη, οἳ καὶ ἐτηρήθησαν εἰς τὸ ἀναγγεῖλαι τοῖς λοιποῖς τὰ γενόμενα.

37 »τὸ γὰρ πῦρ καμάρας εἶδος ποιῆσαν ὥσπερ ὀθόνης πλοίου ὑπὸ πνεύματος πληρουμένης, κύκλῳ περιετείχισε τὸ σῶμα τοῦ μάρτυρος, καὶ ἦν μέσον οὐχ ὡς σὰρξ καιομένη, ἀλλ' ὡς χρυσὸς καὶ ἄργυρος ἐν καμίνῳ πυρούμενος· καὶ γὰρ εὐωδίας τοσαύτης ἀντελαβόμεθα ὡς λιβανωτοῦ πνέοντος ἢ ἄλλου τινὸς τῶν τιμίων ἀρωμάτων.

38 »πέρας γοῦν ἰδόντες οἱ ἄνομοι μὴ δυνάμενον τὸ σῶμα ὑπὸ τοῦ πυρὸς δαπανηθῆναι, ἐκέλευσαν προσελθόντα αὐτῷ κομφέκτορα παραβῦσαι ξίφος,

39 »καὶ τοῦτο ποιήσαντος, ἐξῆλθεν πλῆθος αἵματος, ὥστε κατασβέσαι τὸ πῦρ καὶ θαυμάσαι πάντα τὸν ὄχλον εἰ τοσαύτη τις διαφορὰ μεταξὺ τῶν τε ἀπίστων καὶ τῶν ἐκλεκτῶν· ὧν εἷς καὶ οὗτος γέγονεν ὁ θαυμασιώτατος ἐν τοῖς καθ' ἡμᾶς χρόνοις διδάσκαλος ἀποστολικὸς καὶ προφητικὸς γενόμενος ἐπίσκοπος τῆς ἐν Σμύρνῃ καθολικῆς ἐκκλησίας· πᾶν γὰρ ῥῆμα ὃ ἀφῆκεν ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἐτελειώθη καὶ τελειωθήσεται.

40 »ὁ δὲ ἀντίζηλος καὶ βάσκανος πονηρός, ὁ ἀντικείμενος τῷ γένει τῶν δικαίων, ἰδὼν τό μέγεθος αὐτοῦ τῆς μαρτυρίας καὶ τὴν ἀπ' ἀρχῆς ἀνεπίληπτον

[112] Cf. Sab 3,6.
[113] El *confector* era el que, terminados los combates, daba el golpe de gracia a los hombres y a las fieras heridos de muerte.
[114] Para Schwartz, ἐπίσκοπος fue interpolado para sustituir a διδάσκαλος.

que había llevado desde el principio y que estaba ya coronado con la corona de la incorrupción y tenía ya logrado un premio indiscutible, dispuso las cosas de tal manera que nosotros no recogiéramos su cuerpo, aunque eran muchos los que deseaban hacerlo y tener parte en sus santos despojos.

41 »Algunos, pues, sugirieron a Nicetas, padre de Herodes y hermano de Alce, solicitar del gobernador que no entregase el cuerpo del mártir, 'no sea que—dijo—dejando al crucificado, comiencen a rendir culto a ése' [115]. Y decían esto por sugerencia y por presión de los judíos, que también vigilaban cuando nosotros íbamos a recogerlo de la hoguera. Y es que ignoran que nosotros jamás podremos abandonar a Cristo, que padeció por la salvación de todos los que en el mundo entero se salvan ni rendir culto a ningún otro.

42 »Porque a éste lo adoramos por ser Hijo de Dios; a los mártires, en cambio, los amamos justamente porque son discípulos e imitadores del Señor, a causa de su insuperable benevolencia para con su propio rey y maestro. ¡Ojalá también nosotros fuéramos partícipes de su suerte y condiscípulos suyos!

43 »Viendo, pues, el centurión la porfía de los judíos, puso el cuerpo en medio, como era costumbre, y lo quemó. Y así nosotros, luego, retiramos sus huesos, más estimables que las piedras preciosas y mejor acrisolados que el oro, y los guardamos en lugar conveniente.

44 »Allí, reunidos en cuanto nos sea posible, jubilosos y alegres, el Señor nos concederá celebrar el día natalicio de su martirio,

πολιτείαν ἐστεφανωμένον τε τὸν τῆς ἀφθαρσίας στέφανον καὶ βραβεῖον ἀναντίρρητον ἀπενηνεγμένον, ἐπετήδευσεν ὡς μηδὲ τὸ σωμάτιον αὐτοῦ ὑφ' ἡμῶν ληφθείη, καίπερ πολλῶν ἐπιθυμούντων τοῦτο ποιῆσαι καὶ κοινωνῆσαι τῷ ἁγίῳ αὐτοῦ σαρκίῳ.

41 »ὑπέβαλον γοῦν τινες Νικήτην, τὸν τοῦ 'Ηρῴδου πατέρα, ἀδελφὸν [δὲ] δ' Ἄλκης, ἐντυχεῖν τῷ ἡγημόνι ὥστε μὴ δοῦναι αὐτοῦ τὸ σῶμα, ‹μή›, φησίν, ‹ἀφέντες τὸν ἐσταυρωμένον, τοῦτον ἄρξωνται σέβειν›. καὶ ταῦτα εἶπον ὑποβαλόντων καὶ ἐνισχυσάντων τῶν 'Ιουδαίων· οἳ καὶ ἐτήρησαν μελλόντων ἡμῶν ἐκ τοῦ πυρὸς αὐτὸν λαμβάνειν, ἀγνοοῦντες ὅτι οὔτε τὸν Χριστόν ποτε καταλιπεῖν δυνησόμεθα, τὸν ὑπὲρ τῆς τοῦ παντὸς κόσμου τῶν σῳζομένων σωτηρίας παθόντα, οὔτε ἕτερόν τινα σέβειν.

42 »τοῦτον μὲν γὰρ υἱὸν ὄντα τοῦ θεοῦ προσκυνοῦμεν, τοὺς δὲ μάρτυρας ὡς μαθητὰς καὶ μιμητὰς τοῦ κυρίου ἀγαπῶμεν ἀξίως ἕνεκα εὐνοίας ἀνυπερβλήτου τῆς εἰς τὸν ἴδιον βασιλέα καὶ διδάσκαλον· ὧν γένοιτο καὶ ἡμᾶς συγκοινωνούς τε καὶ συμμαθητάς γενέσθαι.

43 »ἰδὼν οὖν ὁ ἑκατοντάρχης τὴν τῶν 'Ιουδαίων γενομένην φιλονεικίαν, θεὶς αὐτὸν ἐν μέσῳ, ὡς ἔθος αὐτοῖς, ἔκαυσεν, οὕτως τε ἡμεῖς ὕστερον ἀνελόμενοι τὰ τιμιώτερα λίθων πολυτελῶν καὶ δοκιμώτερα ὑπὲρ χρυσίον ὀστᾶ αὐτοῦ ἀπεθέμεθα ὅπου καὶ ἀκόλουθον ἦν.

44 »ἔνθα, ὡς δυνατόν, ἡμῖν συναγομένοις ἐν ἀγαλλιάσει καὶ χαρᾷ παρέξει ὁ κύριος ἐπιτελεῖν τὴν τοῦ μαρτυρίου αὐτοῦ ἡμέραν γενέθλιον εἴς τε τὴν τῶν προηθληκότων μνήμην καὶ τῶν μελλόντων ἄσκησίν τε καὶ ἑτοιμασίαν.

115 Sobre el culto de los mártires, cf. A. GRABAR, *Martyrium. Recherches sur le reliques et l'art chrétien antique*, 3 vols. (París 1946); *supra* III 32,2, n.233.

para memoria de los que ya han luchado y para ejercicio y preparación de los que habrán de luchar.

45 »Tal fue el final del bienaventurado Policarpo. Aunque hacía el número doce de los martirizados en Esmirna, junto con los de Filadelfia, él es el único de quien todos más se acuerdan, hasta el punto de que incluso los paganos están hablando de él en todas partes» [116].

46 De tal final se hizo digno el admirable y apostólico Policarpo, cuyo relato expusieron los hermanos de la iglesia de Esmirna en la carta que de ellos hemos citado. En ese mismo escrito que trata de él van adjuntos otros martirios [117] que tuvieron lugar en la misma Esmirna por el mismo tiempo que el martirio de Policarpo. Con ellos pereció también, entregado a las llamas, Metrodoro, que se cree era presbítero de la secta de Marción.

47 Pero el mártir más famoso de los de entonces fue Pionio. Sus confesiones sucesivas, su libertad de expresión [118], sus apologías de la fe en presencia del pueblo y de las autoridades, sus discursos didácticos al pueblo y aun su amable acogida de los que habían sucumbido en la prueba de la persecución, así como las exhortaciones que, estando en la cárcel, dirigía a los hermanos que a él acudían, y también los tormentos que después sufrió, los suplicios que se añadieron, su enclavamiento, su entereza en la hoguera y, después de todas estas maravillas, su muerte: todo esto se contiene

45 »τοιαῦτα τὰ κατὰ τὸν μακάριον Πολύκαρπον· σὺν τοῖς ἀπὸ Φιλαδηλφίας δωδεκάτου ἐν Σμύρνῃ μαρτυρήσαντος, [ὃς] μόνος ὑπὸ πάντων μᾶλλον μνημονεύεται, ὡς καὶ ὑπὸ τῶν ἐθνῶν ἐν παντὶ τόπῳ λαλεῖσθαι».

46 τὰ μὲν δὴ κατὰ τὸν θαυμάσιον καὶ ἀποστολικὸν Πολύκαρπον τοιούτου κατηξίωτο τέλους, τῶν κατὰ τὴν Σμυρναίων ἐκκλησίαν ἀδελφῶν τὴν ἱστορίαν ἐν ᾗ δεδηλώκαμεν αὐτῶν ἐπιστολῇ κατατεθειμένων· ἐν τῇ αὐτῇ δὲ περὶ αὐτοῦ γραφῇ καὶ ἄλλα μαρτύρια συνῆπτο κατὰ τὴν αὐτὴν Σμύρναν πεπραγμένα ὑπὸ τὴν αὐτὴν περίοδον τοῦ χρόνου τῆς τοῦ Πολυκάρπου μαρτυρίας, μεθ' ὧν καὶ Μητρόδωρος τῆς κατὰ Μαρκίωνα πλάνης πρεσβύτερος δὴ εἶναι δοκῶν πυρὶ παραδοθεὶς ἀνῄρηται.

47 τῶν γε μὴν τότε περιβόητος μάρτυς εἷς τις ἐγνωρίζετο Πιόνιος· οὗ τὰς κατὰ μέρος ὁμολογίας τήν τε τοῦ λόγου παρρησίαν καὶ τὰς ὑπὲρ τῆς πίστεως ἐπὶ τοῦ δήμου καὶ τῶν ἀρχόντων ἀπολογίας διδασκαλικάς τε δημηγορίας καὶ ἔτι τὰς πρὸς τοὺς ὑποπεπτωκότας τῷ κατὰ τὸν διωγμὸν πειρασμῷ δεξιώσεις παραμυθίας τε ἃς ἐπὶ τῆς εἱρκτῆς τοῖς παρ' αὐτὸν εἰσαφικνουμένοις ἀδελφοῖς παρετίθετο, ἅς τε ἐπὶ τούτοις ὑπέμεινεν βασάνους, καὶ τὰς ἐπὶ ταύταις ἀλγηδόνας καθηλώσεις τε καὶ τὴν ἐπὶ τῆς πυρᾶς

[116] *Martyr. Polyc.* 8 19. Este brusco final de la cita quizás se deba a que ahí terminaba el texto usado por Eusebio, y quizás explique su desconocimiento de los datos aportados por *Martyr. Polyc.* 21.

[117] Quizás al *Martyr. Polyc.* seguían en el mismo volumen las *Actas* de los mártires aludidos en los párrafos siguientes, comenzando por las de Pionio. La proximidad en el volumen pudo hacerle a Eusebio escribir la frase: «por el mismo tiempo», cf. T. D. BARNES, *Pre-Decian «Acta Martyrum»*: JTS 19 (1968) 509-531; H. GRÉGOIRE-P. ORGELS-J. MOREAU, *Les Martyres de Pionios et de Polycarpe*: Bulletin de la Classe de Lettres de l'Académie Royale de Belgique 47 (1961) 72-83.

[118] Cf. G. J. M. BARTELINK, *Quelques observations sur* παρρησία *dans la littérature paléo-chrétienne*: Graecitas et latinitas christianorum primaeva 3 (Nimega 1970).

de manera muy completa en el escrito que de él trata [119]. A él remitimos a cuantos interese: se halla incluido entre los martirios de los antiguos, recopilados por nosotros [120].

48 Se conservan además las actas de otros mártires que fueron martirizados en Pérgamo, ciudad de Asia: Carpo, Papilo y una mujer, Agatónice, que acabaron gloriosamente después de muchas e ilustres confesiones [121].

16

[De cómo Justino el Filósofo, siendo de edad provecta, sufrió martirio por la doctrina de Cristo en la ciudad de Roma]

1 Por este mismo tiempo [122], Justino, mencionado poco ha [123], después de dedicar a los susodichos emperadores su segundo libro [124] en defensa de nuestras doctrinas, fue adornado con el sagrado martirio. El urdidor de la conspiración fue el filósofo Crescente—hombre que se afanaba por llevar una vida y una conducta bien adecuadas al apelativo de cínico [125]—, pues Justino le había reprendido

καρτερίαν τήν τε ἐφ' ἅπασιν τοῖς παραδόξοις αὐτοῦ τελευτὴν πληρέστατα τῆς περὶ αὐτοῦ γραφῆς περιεχούσης, τοὺς οἷς φίλον, ἐπὶ ταύτην ἀναπέμψομεν τοῖς τῶν ἀρχαίων συναχθεῖσιν ἡμῖν μαρτυρίοις ἐντεταγμένην.

48 ἑξῆς δὲ καὶ ἄλλων ἐν Περγάμῳ πόλει τῆς Ἀσίας ὑπομνήματα μεμαρτυρηκότων φέρεται, Κάρπου καὶ Παπύλου καὶ γυναικὸς Ἀγαθονίκης, μετὰ πλείστας καὶ διαπρεπεῖς ὁμολογίας ἐπιδόξως τετελειωμένων.

ΙϚʹ

1 Κατὰ τούτους δὲ καὶ ὁ μικρῷ πρόσθεν ἡμῖν δηλωθεὶς Ἰουστῖνος δεύτερον ὑπὲρ τῶν καθ' ἡμᾶς δογμάτων βιβλίον ἀναδοὺς τοῖς δεδηλωμένοις ἄρχουσιν, θείῳ κατακοσμεῖται μαρτυρίῳ, φιλοσόφου Κρήσκεντος (τὸν φερώνυμον δ' οὗτος τῇ Κυνικῇ προσηγορίᾳ βίον τε καὶ τρόπον ἐζήλου) τὴν ἐπιβουλὴν αὐτῷ καττύσαντος, ἐπειδὴ πλεονάκις ἐν διαλόγοις ἀκροατῶν παρόντων εὐθύνας αὐτόν, τὰ νικη-

119 Son las *Actas de Pionio*, conservadas en una redacción griega (desde 1896) y en dos versiones latinas diferentes, pero tan reelaboradas que es difícil descubrir los elementos auténticos, y hasta cabe que se trate de *Actas* diferentes de las aludidas por Eusebio. El texto latino de Ruinart, con traducción castellana, puede verse en D. Ruiz Bueno, *Actas de los Mártires*: BAC 75 (Madrid 1951) p.612-640. Según H. Grégoire-P. Orgels-J. Moreau, o.c., p.82, aunque el martirio tuvo lugar cuando el de Policarpo—en 177 para ellos, cf. *supra* nota 95—la redacción de las *Actas* data de «hacia la mitad del siglo IV». Generalmente se coloca el martirio de Pionio como ocurrido bajo Decio; cf. *supra* nota 117; M. Sordi, a.c., p.284-285.

120 Remite a su *Recopilación de antiguos martirios*, en que había recogido el texto de las actas de mártires «antiguos», es decir, anteriores a la persecución de Diocleciano; cf. *infra* V prol. 2; 1,2; 4,3; 21,5.

121 Estas *Actas*, pues, parece que no entraban en la recopilación de Eusebio, quizás porque no disponía del texto. El que ha llegado hasta nosotros, después de una primera edición en 1881, reeditado por A. Harnack en 1888 (TU 3,3-4) e incluido en la edición de R. Knopf-G. Krüger, puede leerse en traducción castellana de D. Ruiz Bueno (o.c., p.377-382). H. Delehaye presenta una nueva recensión en AB 58 (1940) 142-176; cf. V. Saxer, *Atti dei martiri dei primi tre secoli* = Classici d. spirito, 25 (Padua 1984).

122 El de los emperadores Marco Aurelio y Lucio Vero.

123 Cf. *supra* 8,5 nota 47; 11,8.

124 *Supra* 11,11, habla de «otras obras que contenían una defensa» o apología—en singular—; aquí habla de un segundo libro; cf. *infra* 17,1; 18,2.

125 De κύων = perro. Sobre Crescente, cf. San Justino, *Apol.* II 8; Taciano, *Orat.* 19.

muchas veces en presencia de sus oyentes. Justino, con su martirio, terminó ciñéndose el premio de la victoria de la verdad de que era embajador.

2 También esto lo predice él mismo, consumado filósofo como en verdad era, en la mencionada *Apología*, y tan claramente como de hecho había de sucederle. Estos son sus términos:

3 «Y yo mismo espero ser víctima de la conspiración de alguno de los nombrados y ser aherrojado en el cepo. Quizás por obra de Crescente, el amigo, no de la sabiduría, sino de la ruidosa jactancia, ya que no es justo llamar filósofo a un hombre que en público atestigua lo que ignora, como cuando dice que los cristianos son ateos e impíos, obrando así en gracia y para gusto del vulgo extraviado en el error.

4 »Porque, si es que nos ataca sin haber leído las enseñanzas de Cristo, es de lo más malvado y mucho peor que los ignorantes, los cuales muchas veces se guardan de conversar y de atestiguar falsamente acerca de lo que ignoran. Y si es que las leyó sin entender la grandeza que hay en ellas, o si las entendió, pero obra así para no ser sospechoso de ser cristiano, entonces es mucho más innoble y malvado, esclavo de una opinión, ignorante e irracional, y del miedo.

5 »Porque quiero que sepáis que, habiéndole yo propuesto y hecho preguntas de ese género, me di cuenta y le convencí de que verdaderamente no sabe nada. Y en prueba de que digo la verdad, si es que no os han remitido los informes de la discusión, estoy dispuesto a hacer de nuevo las preguntas incluso en presencia vuestra, tarea que también sería digna de un emperador.

τήρια τελευτῶν ἧς ἐπρέσβευεν ἀληθείας διὰ τοῦ μηρτυρίου τοῦ κατ' αὐτόν ἀνεδήσατο.

2 τοῦτο δὲ καὶ αὐτός ὁ ταῖς ἀληθείαις φιλοσοφώτατος ἐν τῇ δεδηλωμένῃ ἀπολογίᾳ σαφῶς οὕτως, ὥσπερ οὖν καὶ ἔμελλεν ὅσον οὔπω περὶ αὐτόν συμβήσεσθαι, προλαβὼν ἀποσημαίνει τούτοις τοῖς ῥήμασιν

3 «κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευθῆναι καὶ ξύλῳ ἐντιναγῆναι ἢ κἂν ὑπὸ Κρήσκεντος τοῦ ἀφιλοσόφου καὶ φιλοκόμπου· οὐ γὰρ φιλόσοφον εἰπεῖν ἄξιον τόν ἄνδρα, ὅς γε περὶ ὧν μὴ ἐπίσταται, δημοσίᾳ καταμαρτυρεῖ ὡς ἀθέων καὶ ἀσεβῶν Χριστιανῶν ὄντων, πρὸς χάριν καὶ ἡδονὴν τῶν πολλῶν τῶν πεπλανημένων τοῦτο πράττων.

4 »εἴτε γὰρ μὴ ἐντυχὼν τοῖς τοῦ Χριστοῦ διδάγμασιν κατατρέχει ἡμῶν, παμπόνηρός ἐστιν καὶ ἰδιωτῶν πολὺ χείρων, οἳ φυλάττονται πολλάκις περὶ ὧν οὐκ ἐπίστανται, διαλέγεσθαι καὶ ψευδομαρτυρεῖν· καὶ εἰ ἐντυχὼν μὴ συνῆκεν τὸ ἐν αὐτοῖς μεγαλεῖον ἢ συνεὶς πρὸς τὸ μὴ ὑποπτευθῆναι τοιοῦτος ταῦτα ποιεῖ, πολὺ μᾶλλον ἀγεννὴς καὶ παμπόνηρος, ἰδιωτικῆς καὶ ἀλόγου δόξης καὶ φόβου ἐλάττων ὤν.

5 »καὶ γὰρ προθέντα με καὶ ἐρωτήσαντα αὐτὸν ἐρωτήσεις τινὰς τοιαύτας, μαθεῖν καὶ ἐλέγξαι ὅτι ἀληθῶς μηδὲν ἐπίσταται, εἰδέναι ὑμᾶς βούλομαι, καὶ ὅτι ἀληθῆ λέγω, εἰ μὴ ἀνηνέχθησαν ὑμῖν αἱ κοινωνίαι τῶν λόγων, ἕτοιμος καὶ ἐφ' ὑμῶν κοινωνεῖν τῶν ἐρωτήσεων πάλιν· βασιλικὸν δ' ἂν καὶ τοῦτο ἔργον εἴη.

6 »Pero si ya os son conocidas mis preguntas y las respuestas de aquél, bien claro habréis visto que nada sabe de nuestras cosas. O sí lo sabe, pero no se atreve a decirlo por causa de los oyentes, como dije antes, no muestra ser un hombre amante del saber, sino amante de la opinión y despreciador de la sentencia de Sócrates [126], dignísima de todo aprecio» [127].

7 Esto dice Justino. Según su predicción, murió víctima de las maquinaciones de Crescente. Taciano [128], varón que en su primera época profesó las ciencias helénicas, en las que logró no pequeña fama, y dejó en sus escritos muchos monumentos de su ingenio, lo narra en su *Discurso a los griegos* como sigue:

«Y el muy admirable Justino exclamó con toda justicia que los susodichos semejaban a bandidos».

8 Después de añadir algunas cosas acerca de los filósofos, continúa diciendo lo que sigue:

«Crescente, pues, el que anidó en la gran ciudad, a todos aventajaba como pederasta y estaba por entero entregado al amor del dinero.

[5] Las fuentes van a ser los relatos de testigos oculares y las cartas de Orígenes; sobre éstas, cf. *infra* 36,3-4; Nautin, *Orig.* p.19-25.

[6] Quinto Mecio Leto ejerció el cargo de prefecto de Egipto hasta el 25 de febrero de 203. Cf. J. Rea, *The date of the Praefecture of Claudius Julianus*: La parola del Pasato 22 (1967) 49; A. Stein, *Die Praefekten von Aegypten in römischen Zeit*. Diss. (Berna 1950).

[7] Cf. *supra* V 22; *Chronic. ad annum* 189: HELM, p.209. Eusebio sufre aquí una equivocación: Demetrio llevaba ya doce o trece años en el episcopado.

Orígenes, un niño todavía [8], que ardía por lanzarse al encuentro de los peligros y saltar y arrojarse a la lucha.

4 Muy poco faltó, efectivamente, para que la muerte se le acercara, de no ser la divina y celestial providencia que, en provecho de la gran mayoría y por medio de su madre, se le interpuso como obstáculo de su celo [9].

5 Ella primeramente le rogó con palabras exhortándole a tener consideración a sus disposiciones maternales para con él, pero cuando lo vio terriblemente excitado, preso todo él del deseo del martirio al enterarse de que su padre había sido arrestado y encarcelado, le escondió todos sus vestidos y así le obligó a permanecer en casa.

6 Pero él, no pudiendo hacer otra cosa y siéndole imposible dar sosiego a un celo que excedía a su edad, envía a su padre una carta sobre el martirio, estimulante por demás, en la cual le animaba diciéndole textualmente: «Ten cuidado, no sea que por causa nuestra cambies de parecer». Quede esto consignado por escrito como primer indicio de la agudeza de ingenio del niño Orígenes y de su nobilísima disposición para la religión.

7 Y es que, efectivamente, habiéndose ejercitado ya desde niño en las divinas Escrituras, tenía ya echados no pequeños fundamentos para las doctrinas de la fe. También en éstas se había afanado sin medida, pues su padre, antes del ciclo de estudios común a todos [10], había hecho que su preocupación por ellas no fuera secundaria.

8 En consecuencia, antes de ocuparse de las disciplinas helénicas, en toda ocasión lo iba introduciendo a ejercitarse en los estu-

4 ἤδη γέ τοι σμικρὸν ὅσον αὐτῷ καὶ τὰ τῆς ἀπὸ τοῦ βίου ἀπαλλαγῆς οὐ πόρρω καθίστατο, μὴ οὐχὶ τῆς θείας καὶ οὐρανίου προνοίας εἰς τὴν πλείστων ὠφέλειαν διὰ τῆς αὐτοῦ μητρὸς ἐμποδὼν αὐτῷ τῆς προθυμίας ἐνστάσης.

5 αὕτη γοῦν τὰ μὲν πρῶτα λόγοις ἱκετεύουσα, τῆς περὶ αὐτὸν μητρικῆς διαθέσεως φειδὼ λαβεῖν παρεκάλει, σφοδρότερον δ' ἐπιτείναντα θεασαμένη, ὅτε γνοὺς ἁλόντα τὸν πατέρα δεσμωτηρίῳ φυλάττεσθαι ὅλος ἐγίνετο τῆς περὶ τὸ μαρτύριον ὁρμῆς, τὴν πᾶσαν αὐτοῦ ἀποκρυψαμένη ἐσθῆτα οἴκοι μένειν ἀνάγκην ἐπῆγεν·

6 ὁ δ', ὡς οὐδὲν ἄλλο πράττειν αὐτῷ παρῆν, τῆς προθυμίας ὑπὲρ τὴν ἡλικίαν ἐπιτεινομένης οὐχ οἷός τε ὢν ἠρεμεῖν, διαπέμπεται τῷ πατρὶ προτρεπτικωτάτην περὶ μαρτυρίου ἐπιστολήν, ἐν ᾗ κατὰ λέξιν αὐτῷ παραινεῖ λέγων «ἔπεχε μὴ δι' ἡμᾶς ἄλλο τι φρονήσῃς». τοῦτο πρῶτον τῆς Ὠριγένους παιδικῆς ἀγχινοίας καὶ περὶ τὴν θεοσέβειαν γνησιωτάτης διαθέσεως ἀνάγραπτον ἔστω τεκμήριον.

7 καὶ γὰρ ἤδη καὶ τῶν τῆς πίστεως λόγων οὐ σμικρὰς ἀφορμὰς καταβέβλητο, ταῖς θείαις γραφαῖς ἐξ ἔτι παιδὸς ἐνησκημένος· οὐ μετρίως γοῦν καὶ περὶ ταύτας πεπόνητο, τοῦ πατρὸς αὐτῷ πρὸς τῇ τῶν ἐγκυκλίων παιδείᾳ καὶ τούτων οὐ κατὰ πάρεργον τὴν φροντίδα πεποιημένου.

8 ἐξ ἅπαντος γοῦν αὐτὸν πρὸ τῆς τῶν Ἑλληνικῶν μαθημάτων μελέτης ἐνῆ-

[8] Cf. *infra* § 12; 3,3; NAUTIN, *Orig.* p.31-35.

[9] Focio *(Biblioth.* cod. 118) dice haberlo leído en una carta de Orígenes.

[10] Cf. H. I. MARROU, *Saint Augustin et la fin de la culture antique* (París 1938; ²1949); ID., *Histoire de l'éducation dans l'antiquité* (París 1948). La educación cristiana de Orígenes comienza ya en su más tierna niñez.

dios sagrados, exigiéndole cada día pasajes de memoria y relaciones escritas.

9 Estos ejercicios no le desagradaban al niño, antes bien, incluso se empeñaba en ellos con ardor excesivo, hasta el punto de que, no contentándose con los sentidos simples y obvios de las Escrituras Sagradas, ya desde entonces buscaba algo más e investigaba visiones más profundas, de manera que llegaba a poner en apuros a su padre preguntándole qué quería significar el sentido de la Escritura divinamente inspirada.

10 Este aparentaba reprochárselo abiertamente, exhortándole a no indagar nada que excediera a su edad ni más allá del sentido evidente, pero en su fuero interno se regocijaba enormemente y proclamaba ante Dios, autor de todo bien, su mayor agradecimiento por haberle hecho digno de ser padre de tal hijo.

11 Y se cuenta que muchas veces, poniéndose junto al niño mientras dormía, le desnudaba el pecho como si dentro de él habitara un espíritu divino, lo besaba con reverencia y se consideraba dichoso de su noble retoño. Estas cosas y otras del mismo estilo se recuerdan [11] acerca de la niñez de Orígenes.

12 Cuando su padre murió mártir, él quedó solo con su madre y seis hermanos más pequeños, cuando aún no contaba más de diecisiete años [12].

13 La hacienda paterna fue confiscada por el tesoro imperial, y él con los suyos se encontró en la indigencia de las cosas necesarias para la vida. Pero fue considerado digno de la providencia divina y

γεν τοῖς ἱεροῖς ἐνασκεῖσθαι παιδεύμασιν, ἐκμαθήσεις καὶ ἀπαγγελίας ἡμέρας ἑκάστης αὐτὸν εἰσπραττόμενος·

9 οὐκ ἀπροαιρέτως δὲ ταῦτ' ἐγίνετο τῷ παιδί, ἀλλὰ καὶ ἄγαν προθυμότατα περὶ ταῦτα πονοῦντι, ὡς μηδ' ἐξαρκεῖν αὐτῷ τὰς ἁπλᾶς καὶ προχείρους τῶν ἱερῶν λόγων ἐντεύξεις, ζητεῖν δέ τι πλέον καὶ βαθυτέρας ἤδη ἐξ ἐκείνου πολυπραγμονεῖν θεωρίας, ὥστε καὶ πράγματα παρέχειν τῷ πατρί. τί ἄρα ἐθέλοι δηλοῦν τὸ τῆς θεοπνεύστου γραφῆς ἀναπυνθανόμενος βούλημα.

10 ἐκεῖνος δὲ τῷ μὲν δοκεῖν εἰς πρόσωπον ἐπέπληττεν αὐτῷ, μηδὲν ὑπὲρ ἡλικίαν μηδὲ τῆς προφανοῦς διανοίας περαιτέρω τι ζητεῖν παραινῶν, ἰδίως δὲ παρ' ἑαυτῷ τὰ μεγάλα γεγηθὼς τὴν μεγίστην ὡμολόγει τῷ πάντων ἀγαθῶν αἰτίῳ θεῷ χάριν, ὅτι δὴ αὐτὸν τοιοῦδε πατέρα γενέσθαι παιδὸς ἠξίωσεν.

11 ἐπιστάντα δὲ ἤδη πολλάκις καθεύδοντι τῷ παιδὶ γυμνῶσαι μὲν αὐτοῦ τὰ στέρνα φασίν, ὥσπερ δὲ θείου πνεύματος ἔνδον ἐν αὐτοῖς ἀφιερωμένου, φιλῆσαί τε σεβασμίως καὶ τῆς εὐτεκνίας μακάριον ἑαυτὸν ἡγήσασθαι. ταῦτα καὶ ἕτερα τούτοις συγγενῆ περὶ παῖδα ὄντα τὸν Ὠριγένην γενέσθαι μνημονεύουσιν.

12 ὡς δὲ ἤδη αὐτῷ ὁ πατὴρ μαρτυρίῳ τετελείωτο, ἔρημος ἅμα μητρὶ καὶ βραχυτέροις ἀδελφοῖς τὸν ἀριθμὸν ἕξ, ἑπτακαιδέκατον οὐ πλῆρες ἔτος ἄγων, καταλείπεται·

13 τῆς γε μὴν τοῦ πατρὸς περιουσίας τοῖς βασιλικοῖς ταμείοις ἀναληφθείσης, ἐν σπάνει τῶν κατὰ τὸν βίον χρειῶν σὺν τοῖς προσήκουσιν καταστάς,

[11] Seguramente, entre los discípulos de Orígenes supervivientes; cf. *supra* § 1.
[12] Más bien andaba por los quince; cf. *infra* 3.3.

halló protección a la vez que sosiego en una señora riquísima en medios de vida y muy distinguida en lo demás, pero que rodeaba de atenciones a un hombre muy conocido, uno de los herejes que entonces había en Alejandría. Era éste de origen antioqueno, y la mencionada señora lo tenía consigo como hijo adoptivo y lo rodeaba de los máximos honores [13].

14 Pero Orígenes, que, por necesidad, estaba ordinariamente con él, ya desde aquella edad daba pruebas claras de su ortodoxia en la fe, pues aunque una muchedumbre incontable, no sólo de herejes, sino también de los nuestros, se reunía junto a Pablo (que así se llamaba aquel hombre), porque les parecía elocuente, jamás se logró inducirle a que le acompañase en la oración, guardando ya desde niño la regla de la Iglesia y abominando—como textualmente dice él mismo en alguna parte [14]—las enseñanzas de las herejías.

15 Iniciado por su padre previamente en las disciplinas de los griegos, después de la muerte de éste se entregó por entero con mayor celo al estudio de las letras, de modo que, no mucho después de la muerte del padre, tenía ya una preparación suficiente en conocimientos gramaticales. Con su entrega a estos estudios se procuraba en abundancia—para su edad—lo necesario [15].

οἰκονομίας τῆς ἐκ θεοῦ καταξιοῦται καὶ τυγχάνει δεξιώσεως ὁμοῦ καὶ ἀναπαύσεως παρά τινι πλουσιωτάτῃ μὲν τὸν βίον καὶ τὰ ἄλλα περιφανεστάτῃ γυναικί, διαβόητόν γε μὴν ἄνδρα περιεπούσῃ τῶν τότε ἐπὶ τῆς Ἀλεξανδρείας αἱρεσιωτῶν· τὸ γένος ἦν οὗτος Ἀντιοχεύς, θετὸν δ' υἱὸν αὐτὸν εἶχέν τε σὺν ἑαυτῇ καὶ ἐν τοῖς μάλιστα περιεῖπεν ἡ δεδηλωμένη.

14 ἀλλὰ τούτῳ γε ἐπάναγκες ὁ Ὠριγένης συνών, τῆς ἐξ ἐκείνου περὶ τὴν πίστιν ὀρθοδοξίας ἐναργῆ παρείχετο δείγματα, ὅτι δὴ μυρίου πλήθους διὰ τὸ δοκοῦν ἱκανὸν ἐν λόγῳ τοῦ Παύλου (τοῦτο γὰρ ἦν ὄνομα τῷ ἀνδρί) συναγομένου παρ' αὐτῷ οὐ μόνον αἱρετικῶν, ἀλλὰ καὶ ἡμετέρων, οὐδεπώποτε προυτράπη κατὰ τὴν εὐχὴν αὐτῷ συστῆναι, φυλάττων ἐξ ἔτι παιδὸς κανόνα ἐκκλησίας βδελυττόμενός τε, ὥς αὐτῷ ῥήματί φησίν που αὐτός, τὰς τῶν αἱρέσεων διδασκαλίας.

15 προαχθεὶς δ' ὑπὸ τοῦ πατρὸς ἐν τοῖς Ἑλλήνων μαθήμασιν ἐκθυμότερόν τε [καὶ] μετὰ τὴν ἐκείνου τελευτὴν τῇ περὶ τοὺς λόγους ἀσκήσει ὅλον ἐπιδοὺς ἑαυτόν, ὡς καὶ παρασκευὴν ἐπὶ τὰ γραμματικὰ μετρίαν ἔχειν, μετ' οὐ πολὺ τῆς τοῦ πατρὸς τελειώσεως, τούτοις ἐπιδεδωκὼς ἑαυτόν, εὐπόρει τῶν ἀναγκαίων, ὡς ἐν ἐκείνῃ τῇ ἡλικίᾳ, δαψιλῶς.

13 No sabemos qué hereje puede ser; sólo nos dará el nombre. En todo caso el mecenazgo de esta matrona alejandrina tenía caprichos bien extraños.

14 Imposible determinar dónde, siendo tantas las protestas de ortodoxia que Orígenes ha sembrado por su obra.

15 Seguramente daba clases particulares de gramática y, por lo tanto, a alumnos muy jóvenes todavía.

3

[De cómo Orígenes, siendo todavía un muchacho, enseñaba la doctrina de Cristo]

1 Y hallándose entregado a la enseñanza—según él mismo nos informa en alguno de sus escritos [16]—y no habiendo en Alejandría nadie dedicado a la instrucción catequética, pues todos habían sido expulsados por la amenaza de la persecución [17], algunos gentiles acudieron a él para escuchar la palabra de Dios.

2 De ellos da a entender que el primero fue Plutarco, el cual, después de una vida honesta, fue adornado con el martirio divino [18]. El segundo fue Heraclas, hermano de Plutarco, quien, después de dar asimismo ante él numerosísimos ejemplos de vida filosófica y disciplina, fue considerado digno del episcopado de Alejandría, después de Demetrio [19].

3 Orígenes iba a cumplir los dieciocho años cuando se puso a la cabeza de la escuela catequética, momento en que, bajo la persecución del gobernador de Alejandría Aquila [20], realizaba grandes progresos. También fue entonces cuando hizo su nombre famosísimo entre todos aquellos a quienes movía la fe, por la acogida y soli-

Γ'

1 σχολάζοντι δὲ τῇ διατριβῇ, ὥς που καὶ αὐτὸς ἐγγράφως ἱστορεῖ, μηδενός τε ἐπὶ τῆς Ἀλεξανδρείας τῷ κατηχεῖν ἀνακειμένου, πάντων δ' ἀπεληλαμένων ὑπὸ τῆς ἀπειλῆς τοῦ διωγμοῦ, προσῄεσαν αὐτῷ τινες ἀπὸ τῶν ἐθνῶν ἀκουσόμενοι τὸν λόγον τοῦ θεοῦ·

2 ὧν πρῶτον ἐπισημαίνεται γεγονέναι Πλούταρχον, ὃς μετὰ τὸ βιῶναι καλῶς καὶ μαρτυρίῳ θείῳ κατεκοσμήθη, δεύτερον Ἡρακλᾶν, τοῦ Πλουτάρχου ἀδελφόν, ὃς δὴ καὶ αὐτὸς παρ' αὐτῷ πλείστην βίου φιλοσόφου καὶ ἀσκήσεως ἀπόδειξιν παρασχών, τῆς Ἀλεξανδρέων μετὰ Δημήτριον ἐπισκοπῆς ἀξιοῦται.

3 ἔτος δ' ἦγεν ὀκτωκαιδέκατον καθ' ὃ τοῦ τῆς κατηχήσεως προέστη διδασκαλείου· ἐν ᾧ καὶ προκόπτει ἐπὶ τῶν κατὰ Ἀκύλαν τῆς Ἀλεξανδρείας ἡγούμενον διωγμῶν, ὅτε καὶ μάλιστα διαβόητον ἐκτήσατο παρὰ πᾶσιν τοῖς ἀπὸ τῆς πίστεως ὁρμωμένοις ὄνομα δι' ἣν ἐνε-

[16] Seguramente la carta que desde Atenas escribió al obispo Alejandro de Jerusalén: Nautin, *Lettres*, p.132-134; *Orig.* p.22-24; 36-38.

[17] Los directores de la escuela catequética, ante la amenaza de la persecución, se habían dispersado, retirándose lejos de Alejandría, hecho que confirma la relativa localización de la persecución; cf. *supra* 1.

[18] Cf. *infra* 4,1.

[19] Heraclas, mayor que Orígenes y discípulo antes que él de Ammonio Saccas (*infra* 19, 13), se convertirá en compañero y luego sucesor suyo en la dirección de la escuela alejandrina, y finalmente será obispo, sucesor de Demetrio; cf. *infra* 15; 26.

[20] Subaciano Aquila no sucedió inmediatamente a Leto en la prefectura de Egipto (cf. *supra* 2,2), sino que entre ambos fue prefecto Claudio Juliano; la primera referencia en los papiros a Aquila es de octubre-noviembre de 206; cf. J. Rea, a.c., p.52. Por lo tanto, si Orígenes tenía dieciocho años bajo Aquila, no podía tener más de quince cuando en 203 arreciaba la persecución y moría su padre bajo el prefecto Leto (cf. *supra* 2,12). Según esto, se hizo cargo de la escuela hacia el 206 (cf. *infra* 6). Por lo demás, es la primera vez que se habla de una escuela catequética alejandrina; cf. G. Bardy, *Aux origines de l'école d'Alexandrie*: RSR 27 (1937) 65; T. D. Barnes, *Origen, Aquila, and Eusebius*: Harvard Studies in Classical Philology 74 (1970) 313-316.

citud que mostraba para con todos los santos mártires conocidos y desconocidos.

4 En efecto, no solamente les asistía cuando estaban en la cárcel y cuando eran juzgados, hasta la sentencia final, sino también después de ésta, cuando los santos mártires eran conducidos a la muerte, con muchísima osadía y exponiéndose a los mismos peligros. Tanto es así, que muchas veces, por acercarse resueltamente y atreverse a saludar con un beso a los mártires, faltó poco para que la plebe de paganos que se hallaba en derredor, enfurecida, lo lapidase, pero cada vez, con la ayuda de la diestra divina, escapó milagrosamente [21].

5 Y esta misma y celestial gracia le fue guardando en otras ocasiones una y otra vez—imposible decir cuántas—cuando se conspiraba contra él por causa de su exceso de celo y de osadía en favor de la doctrina de Cristo. La guerra que hacían los infieles contra él era tal que se formaron escuadrones y apostaban soldados en torno a la casa en que él se hallaba [22], por causa de la muchedumbre de los que recibían de él la instrucción de la fe sagrada.

6 De día en día la persecución contra él se encendía tanto que en toda la ciudad no había ya lugar para él: cambiando de casa en casa, de todas partes le echaban a causa del gran número de los que por él se acercaban a la enseñanza divina. Y es que su misma conducta práctica contenía rasgos admirables de virtud de la más genuina filosofía [23].

δείκνυτο πρὸς ἅπαντας τοὺς ἁγίους ἀγνῶτάς τε καὶ γνωρίμους μάρτυρας δεξίωσίν τε καὶ προθυμίαν.

4 οὐ μόνον γὰρ ἐν δεσμοῖς τυγχάνουσιν, οὐδὲ μέχρις ὑστάτης ἀποφάσεως ἀνακρινομένοις συνῆν, ἀλλὰ καὶ μετὰ ταύτην ἀπαγομένοις τὴν ἐπὶ θανάτῳ τοῖς ἁγίοις μάρτυσιν, πολλῇ τῇ παρρησίᾳ χρώμενος καὶ ὁμόσε τοῖς κινδύνοις χωρῶν· ὥστε ἤδη αὐτὸν προσιόντα θαρσαλέως καὶ τοὺς μάρτυρας μετὰ πολλῆς παρρησίας φιλήματι προσαγορεύοντα πολλάκις ἐπιμανεὶς ὁ ἐν κύκλῳ τῶν ἐθνῶν δῆμος μικροῦ δεῖν κατέλευσεν, εἰ μὴ τῆς θείας δεξιᾶς βοηθοῦ καθάπαξ τυγχάνων παραδόξως διεδίδρασκεν,

5 ἡ δ' αὐτὴ θεία καὶ οὐράνιος χάρις ἄλλοτε πάλιν καὶ πάλιν καὶ οὐδ' ἔστιν ὁσάκις εἰπεῖν, τῆς ἄγαν περὶ τὸν Χριστοῦ λόγον προθυμίας τε καὶ παρρησίας ἕνεκεν τηνικαῦτα ἐπιβουλευόμενον αὐτὸν διεφύλαττεν. τοσοῦτος δ' ἦν ἄρα τῶν ἀπίστων ὁ πρὸς αὐτὸν πόλεμος, ὡς καὶ συστροφὰς ποιησαμένους, στρατιώτας αὐτῷ περὶ τὸν οἶκον, ἔνθα κατέμενεν, ἐπιστῆσαι διὰ τὸ πλῆθος τῶν τὰ τῆς ἱερᾶςπ ίστεως κατηχουμένων παρ' αὐτῷ.

6 οὕτω δὲ ὁσημέραι ὁ κατ' αὐτοῦ διωγμὸς ἐξεκάετο, ὡς μηκέτι χωρεῖν αὐτὸν τὴν πᾶσαν πόλιν, οἴκους μὲν ἐξ οἴκων ἀμείβοντα, πανταχόθεν δὲ ἐλαυνόμενον, τῆς πληθύος ἕνεκεν τῶν δι' αὐτοῦ τῇ θείᾳ προσιόντων διδασκαλίᾳ· ἐπεὶ καὶ τὰ κατά πρᾶξιν ἔργα αὐτῷ γνησιωτάτης φιλοσοφίας κατορθώματα εὖ μάλα θαυμαστὰ περιεῖχεν

[21] Contando con el fondo histórico innegable, no debemos olvidar la carga de afectividad panegírica de todo el relato.

[22] Esto puede significar que la escuela no disponía de edificio propio y la enseñanza se impartía en el domicilio mismo del maestro.

[23] Cf. *supra* III 37,2 nota 288.

7 (Demostraba, pues, según el dicho, que «cual su palabra, tal su carácter», «y cual su carácter, tal su palabra»[24]). Esta era, sobre todo, la causa de que, con la colaboración del poder divino, arrastrase a millares de gentes a emularle.

8 Y cuando vio que los discípulos acudían aún más numerosos y que él era el único encargado por el jefe de la iglesia, Demetrio, de la escuela catequética[25], considerando que la enseñanza de la gramática era incompatible con el ejercicio de las disciplinas divinas, rompió sin vacilar con el estudio de la gramática como inútil y contrario a las ciencias divinas[26].

9 Después, con buen cálculo, para no necesitar de la ayuda de otros, se deshizo de todas las obras que hasta entonces tenía de literatura antigua[27], trabajadas con mucho gusto, y se contentaba con los cuatro óbolos que cada día le llevaba el que se las compró. Durante muchos años continuó llevando este género de vida de filósofo, arrancando de sí mismo cuanto pudiera dar pábulo a sus pasiones juveniles[28], soportando[29] durante todo el día no pequeñas fatigas ascéticas y, por la noche, consagrándose la mayor parte del tiempo al estudio de las divinas Escrituras. Así perseveraba en una vida lo

7 (οἷον γοῦν τὸν λόγον, τοιόνδε, φασίν, τὸν τρόπον καὶ οἷον τὸν τρόπον, τοιόνδε τὸν λόγον ἐπεδείκνυτο), δι' ἃ δὴ μάλιστα, συναιρομένης αὐτῷ δυνάμεως θείας, μυρίους ἐνῆγεν ἐπὶ τὸν αὐτοῦ ζῆλον.

8 ἐπειδὴ δὲ ἑώρα φοιτητὰς ἤδη πλείους προσιόντας, αὐτῷ μόνῳ τῆς τοῦ κατηχεῖν διατριβῆς ὑπὸ Δημητρίου τοῦ τῆς ἐκκλησίας προεστῶτος ἐπιτετραμμένης, ἀσύμφωνον ἡγησάμενος τὴν τῶν γραμματικῶν λόγων διδασκαλίαν τῇ πρὸς τὰ θεῖα παιδεύματα ἀσκήσει, μὴ μελλήσας ἀπορρήγνυσιν ἅτε ἀνωφελῆ καὶ τοῖς ἱεροῖς μαθήμασιν ἐναντίαν τὴν τῶν γραμματικῶν λόγων διατριβήν,

9 εἶτα λογισμῷ καθήκοντι, ὡς ἂν μὴ γένοιτο τῆς παρ' ἑτέρων ἐπικουρίας ἐνδεής, ὅσαπερ ἦν αὐτῷ πρότερον λόγων ἀρχαίων συγγράμματα φιλοκάλως ἐσπουδασμένα, μεταδούς, ὑπὸ τοῦ ταῦτα ἐωνημένου φερομένοις αὐτῷ τέτταρσιν ὀβολοῖς τῆς ἡμέρας ἠρκεῖτο. πλείστοις τε ἔτεσιν τοῦτον φιλοσοφῶν διετέλει τὸν τρόπον, πάσας ὕλας νεωτερικῶν ἐπιθυμιῶν ἑαυτοῦ περιαιρούμενος, καὶ διὰ πάσης μὲν ἡμέρας οὐ σμικροὺς ἀσκήσεως καμάτους ἀντλῶν, καὶ τῆς νυκτὸς δὲ τὸν πλείονα χρόνον ταῖς τῶν θείων γραφῶν ἑαυτὸν ἀνατιθεὶς μελέταις, βίῳ τε ὡς ἔνι μάλιστα ἐγκαρτερῶν φιλοσοφωτάτῳ, τοτὲ μὲν τοῖς ἐν ἀσιτίαις

[24] La frase era ya proverbial según Séneca (*Epist.* 114,1: «apud Graecos in proverbium cessit: talis hominibus fuit oratio qualis vita»); Cicerón (*Tuscul.* 5,16,47), que la traduce: «qualis autem homo ipse esset, talem eius esse orationem», la atribuye «al príncipe de la filosofía, Sócrates». El pensamiento lo recoge Platón (*Respubl.* 400d).

[25] Según San Jerónimo (*De vir. ill.* 54), esto fue la confirmación oficial de lo que hasta este momento habría sido simple iniciativa privada de Orígenes; cf. M. SIMONETTI, *Origene catecheta*: Salesianum 41 (1979) 299-308.

[26] Predomina el aspecto catequético, propio de la escuela; a causa de la muchedumbre de discípulos, ve que no puede alternar la enseñanza catequética y la de las letras (que viene enseñando privadamente), y decide abandonar ésta en favor de aquélla. Más tarde separará ambas enseñanzas y nacerá la verdadera Escuela de Alejandría (cf. *infra* 18,19) y A. LE BOULLUEC, *L'école d'Alexandrie. De quelques aventures d'un concept historiographique*, en *Alexandrina*. Mélanges offerts au Père Claude MONDÉSERT (Paris 1987) p.403-417.

[27] Esto quizá sea una exageración panegírica; si no, no se comprende cómo podía seguir estudiando esa literatura sin libros, puesto que él sólo abandonó su enseñanza como fin en sí, no su estudio como medio; cf. *infra* 18,3-4.

[28] Cf. 2 Tim 2,22.

[29] ἀντλῶν no da sentido; ARBDM corrigen en ἀνατλῶν; no creo necesaria la conjetura de Schwartz: ἀναπ⟨ιμπ⟩λῶν.

más filosófica posible [30], ya fuera en ejercicios de ayuno, ya moderando el tiempo del sueño, que, por lo demás, nunca trataba de tomarlo sobre lecho, en absoluto, sino a toda costa sobre el suelo.

10 Por encima de todo consideraba que era preciso guardar aquellas sentencias evangélicas del Salvador que exhortaba a no usar dos túnicas, ni sandalias [31] y a no consumirse con las preocupaciones del porvenir [32].

11 Es más, con un ardor superior a sus años, manteniéndose firme en los fríos y en la desnudez [33] y avanzando hacia una pobreza extrema, tenía llenos de admiración a los que le rodeaban. También apenaba a muchísimos, que le suplicaban que compartiera sus bienes, pues veían los trabajos que pasaba por la enseñanza divina; pero él en nada cedía a su insistencia.

12 Se cuenta, por ejemplo, que durante muchos años pisó la tierra sin usar calzado alguno; es más, se abstuvo por muchos años del uso del vino y de todo otro alimento no necesario, hasta el punto de ponerse en peligro de arruinar y estropear su pecho.

13 Ofreciendo tales ejemplos de vida filosófica a cuantos le contemplaban, era natural que incitara a la mayoría de sus discípulos a un celo semejante al suyo, tanto que personas destacadas, incluso de entre los gentiles infieles y de los que procedían de la ilustración y de la filosofía [34], poco a poco se iban sometiendo a la enseñanza que él daba, y tan sinceramente recibieron de él en el fondo de sus almas la fe en la palabra divina, que también ellos sobresalieron en el mo-

γυμνασίοις, τοτὲ δὲ μεμετρημένοις τοῖς κατὰ τὸν ὕπνον καιροῖς, οὗ μεταλαμβάνειν οὐδ' ὅλως ἐπὶ στρωμνῆς, ἀλλ' ἐπὶ τοὔδαφος διὰ σπουδῆς ἐποιεῖτο·

10 πάντων δὲ μάλιστα τὰς εὐαγγελικὰς τοῦ σωτῆρος φωνὰς φυλακτέας ᾤετο εἶναι δεῖν τάς τε περὶ τοῦ μὴ δύο χιτῶνας μηδ' ὑποδήμασιν χρῆσθαι παραινούσας μηδὲ μὴν ταῖς περὶ τοῦ μέλλοντος χρόνου φροντίσιν κατατρίβεσθαι·

11 ἀλλὰ καὶ μείζονι τῆς ἡλικίας προθυμίᾳ χρώμενος, ἐν ψύχει καὶ γυμνότητι διακαρτερῶν εἰς ἄκρον τε ὑπερβαλλούσης ἀκτημοσύνης ἐλαύνων, τοὺς ἀμφ' αὐτὸν εἰς τὰ μάλιστα κατέπληττεν, μυρίους μὲν λυπῶν εὐχομένους αὐτῷ κοινωνεῖν τῶν ὑπαρχόντων δι' οὓς ἑώρων αὐτὸν εἰσφέροντα περὶ τὴν θείαν διδασκαλίαν καμάτους, οὐ μὴν αὐτός γε ἐνδιδοὺς ταῖς καρτερίαις.

12 λέγεται γοῦν καὶ πλειόνων ἐτῶν γῆν πεπατηκέναι μηδενὶ μηδαμῶς κεχρημένος ὑποδήματι, ἀλλὰ καὶ οἴνου χρήσεως καὶ τῶν ἄλλων παρὰ τὴν ἀναγκαίαν τροφὴν πλείστοις ἔτεσιν ἀπεσχημένος, ὥστε ἤδη εἰς κίνδυνον ἀνατροπῆς καὶ διαφθορᾶς τοῦ θώρακος περιπεσεῖν.

13 τοιαῦτα δὴ φιλοσόφου βίου τοῖς θεωμένοις παρέχων ὑποδείγματα, εἰκότως ἐπὶ τὸν ὅμοιον αὐτῷ ζῆλον πλείους παρώρμα τῶν φοιτητῶν, ὥστε ἤδη καὶ τῶν ἀπίστων ἐθνῶν τῶν τε ἀπὸ παιδείας καὶ φιλοσοφίας οὐ τοὺς τυχόντας ὑπάγεσθαι τῇ δι' αὐτοῦ διδασκαλίᾳ· οἷς καὶ αὐτοῖς γνησίως ἐν βάθει ψυχῆς τὴν εἰς τὸν θεῖον

[30] Se insiste sobre su género de vida, «filosófico» por excelencia, pero con una filosofía que brota del Evangelio y da sentido a su rigurosa ascésis.

[31] Cf. Mt 10,10.

[32] Cf. Mt 6,34.

[33] Cf. 2 Cor 11,27.

[34] Filósofos gentiles, en el sentido propio de la palabra.

mento de la persecución de entonces, de manera que algunos incluso fueron detenidos y acabaron en el martirio.

4

[Cuántos de los instruidos por Orígenes fueron elevados a la categoría de mártires]

1 El primero, pues, de éstos fue Plutarco, mencionado poco más arriba [35]. Cuando éste era conducido a la muerte, de nuevo faltó poco para que aquel de quien estamos hablando y que le asistía hasta el último instante de su vida fuera linchado allí mismo por los ciudadanos, como culpable evidente de aquella muerte. Pero también entonces la voluntad de Dios seguía guardándolo.

2 Después de Plutarco, el segundo de los discípulos de Orígenes en señalarse como mártir es Sereno, que mediante el fuego dio prueba de la fe que había recibido.

3 Tercer mártir de la misma escuela fue Heráclides, y tras él, el cuarto, Herón; aquél aún era catecúmeno, éste neófito [36]; los dos fueron decapitados. Todavía, además de éstos, de la misma escuela hubo otro Sereno, distinto del primero, quinto en proclamarse atleta de la religión, de quien dice la tradición [37] que, después de soportar muchos tormentos, fue decapitado. Y entre las mujeres también

λόγον πίστιν δι' αὐτοῦ παραδεχομένοις, διαπρέπειν συνέβαινεν κατὰ τὸν τότε τοῦ διωγμοῦ καιρόν, ὡς καί τινας αὐτῶν ἁλόντας μαρτυρίῳ τελειωθῆναι.

Δ'

1 Πρῶτος μὲν οὖν τούτων ὁ μικρῷ πρόσθεν δηλωθεὶς Πλούταρχος ἦν· οὗ τὴν ἐπὶ θάνατον ἀπαγομένου, σμικροῦ δεῖν αὖθις ὁ περὶ οὗ ὁ λόγος, συμπαρὼν αὐτῷ εἰς ὑστάτην τοῦ βίου τελευτήν, ὑπὸ τῶν αὐτοῦ πολιτῶν ἀνῄρητο, ὡς αἴτιος αὐτῷ πεφηνὼς τοῦ θανάτου· θεοῦ δὲ αὐτὸν ἐτήρει καὶ τότε βουλή.

2 μετὰ δὲ Πλούταρχον δεύτερος τῶν Ὠριγένους φοιτητῶν μάρτυς ἀναδείκνυται Σέρηνος, διὰ πυρὸς τὴν δοκιμὴν ἧς παρειλήφει πίστεως παρεσχημένος.

3 τῆς αὐτῆς διατριβῆς τρίτος καθίσταται μάρτυς Ἡρακλείδης, καὶ ἐπὶ τούτῳ τέταρτος Ἥρων, ὁ μὲν πρότερος ἔτι κατηχούμενος, ὁ δὲ νεοφώτιστος, τὴν κεφαλὴν ἀποτμηθέντες. ἔτι πρὸς τούτοις τῆς αὐτῆς σχολῆς πέμπτος ἀθλητὴς εὐσεβείας ἀνακηρύττεται ἕτερος τοῦ πρώτου Σέρηνος, ὃν μετὰ πλείστην βασάνων ὑπομονὴν κεφαλῇ κολασθῆναι λόγος ἔχει. καὶ γυναι-

[35] Cf. *supra* 3,2. El primer filósofo gentil instruido por Orígenes y primero del grupo en morir mártir. Todos los mártires mencionados en este capítulo y en el 5, a excepción de Basílides, se conmemoran el 28 de junio en los martirologios, pero esto no implica que muriesen el mismo día; cf. H. Delehaye, o.c., p.8 y 59.

[36] El edicto imperial afectaba sobre todo a catecúmenos y neófitos. De hecho, cinco de los siete procedentes de la escuela catequética aquí mencionados eran catecúmenos todavía o recién bautizados: Plutarco (§ 1; *supra* 3,2), Heráclides, Herón, Herais (§ 3) y Basílides (*infra* 5,6).

[37] Posiblemente, una carta de Orígenes.

Herais, todavía catecúmena, consumó su vida «tras recibir—como dice él mismo en alguna parte—el bautismo de fuego»[38].

5

[De Potamiena]

1 Entre ellos cuéntase como séptimo Basílides[39], el que condujo a la famosísima Potamiena[40] a su ejecución. Mucho es lo que todavía hoy se cuenta de ella y se celebra entre sus compatriotas. Después de sostener mil combates contra hombres disolutos en defensa de la pureza de su cuerpo y de su virginidad que la distinguían (pues lo mismo que la fuerza de su alma, también la belleza de su cuerpo estaba en plena floración) y después de soportar innumerables tormentos, por último, tras de torturas terribles y que hacen estremecer con sólo nombrarlas, murió abrasada viva juntamente con su madre, Marcela.

2 Se cuenta al menos que el juez, cuyo nombre era Aquila[41], después de hacerla atormentar cruelmente por todo el cuerpo, finalmente amenazó con entregarla a los gladiadores para ultraje de su cuerpo[42], pero ella, después de reflexionar ensimismada breves instantes, al ser preguntada por qué decidía, dio tal respuesta, que a los oídos de aquéllos parecía sonar a algo impío.

3 Aún hablaba cuando recibió los términos de su sentencia. Basílides, uno de los funcionarios militares[43], la tomó y la condujo

κῶν δὲ Ἡραῒς ἔτι κατηχουμένη τὸ βάπτισμα, ὥς πού φησιν αὐτός, τὸ διὰ πυρὸς λαβοῦσα, τὸν βίον ἐξελήλυθεν.

Ε'

1 Ἕβδομος ἐν τούτοις ἀριθμείσθω Βασιλείδης, τὴν περιβόητον Ποταμίαιναν ἀπαγαγών, περὶ ἧς πολύς ὁ λόγος εἰς ἔτι νῦν παρὰ τοῖς ἐπιχωρίοις ᾄδεται, μυρία μὲν ὑπὲρ τῆς τοῦ σώματος ἁγνείας τε καὶ παρθενίας, ἐν ᾗ διέπρεψεν, πρὸς ἐραστὰς ἀγωνισαμένης (καὶ γὰρ οὖν αὐτῇ ἀκμαῖον πρὸς τῇ ψυχῇ καὶ τὸ τοῦ σώματος ὡραῖον ἐπήνθει), μυρία δὲ ἀνατλάσης καὶ τέλος μετὰ δεινὰς καὶ φρικτὰς εἰπεῖν βασάνους ἅμα μητρὶ Μαρκέλλῃ διὰ πυρὸς τελειωθείσης.

2 φασί γέ τοι τὸν δικαστήν (Ἀκύλας ἦν τούτῳ ὄνομα) χαλεπὰς ἐπιθέντα αὐτῇ κατὰ παντὸς τοῦ σώματος αἰκίας, τέλος ἐφ' ὕβρει τοῦ σώματος μονομάχοις αὐτὴν ἀπειλῆσαι παραδοῦναι· τὴν δὲ βραχύ τι πρὸς ἑαυτὴν ἐπισκεψαμένην ἐρωτηθεῖσαν ὃ κρίνειεν, τοιαύτην δοῦναι ἀπόκρισιν δι' ἧς ἐδόκει νενομισμένον τι αὐτοῖς ἀσεβὲς ἀποφθέγξασθαι.

3 ἅμα δὲ λόγῳ τὸν τῆς ἀποφάσεως ὅρον καταδεξαμένην ὁ Βασιλείδης, εἷς τις

[38] Cf. Orígenes, *In Lucam*. hom.24; *In Ezech*. hom.5,1.
[39] Aparece, pues, como discípulo de la escuela catequética; a juzgar por lo que sigue, debía de haberla frecuentado muy poco.
[40] Cf. Paladio, *Hist. Laus.* 3, que equivocadamente la supone martirizada bajo Maximino, y no bajo Septimio Severo; cf. H. Delehaye, o.c., p.23.
[41] Cf. *supra* 3,3.
[42] Cf. Eusebio, MPal 5,3.
[43] Cf. una expresión parecida *infra* VIII 4,3; el significado es dudoso; cf. Nautin, *Orig.* p.44, n.10.

para su ejecución. Como la turba intentaba molestarla y vejarla con palabras intemperantes, él rechazaba y ahuyentaba a los insolentes y mostraba para con ella la mayor compasión y humanidad. Ella, por su parte, aceptando la simpatía de que era objeto, exhortaba a aquel hombre a tener valor, porque ella le reclamaría a su propio Señor nada más partir y en breve podría corresponder a lo que él había hecho por ella [44].

4 Dicho esto, afrontó con nobleza su fin mientras le iban derramando la pez hirviendo lenta y paulatinamente por los distintos miembros de su cuerpo, desde las plantas de los pies hasta el vértice de la cabeza.

5 Y así fue el combate que libró esta joven digna de encomio. No mucho después, Basílides, habiéndole exigido juramento sus compañeros de milicia por cierto motivo, aseguraba que en modo alguno le estaba permitido jurar [45], porque era cristiano y lo proclamaba públicamente. Al principio, durante algún tiempo, creyeron que bromeaba, pero como él se empecinase obstinadamente, lo condujeron al juez; y también ante él proclamó su resistencia y fue arrojado en prisiones.

6 Cuando sus hermanos en Dios se llegaron a él y trataron de informarse de la causa de esta repentina y maravillosa decisión, cuéntase que dijo que Potamiena se le había aparecido durante la noche, tres días después de su martirio, le había ceñido la cabeza con una corona y le había dicho que ella había pedido al Señor gracia por él, que había obtenido lo pedido y que no tardando mucho lo tomaría

ὼν τῶν ἐν στρατείαις ἀναφερομένων, ἀπάγει παραλαβὼν τὴν ἐπὶ θανάτῳ. ὡς δὲ τὸ πλῆθος ἐνοχλεῖν αὐτὴν καὶ ἀκολάστοις ἐνυβρίζειν ῥήμασιν ἐπειρᾶτο, ὃ μὲν ἀνεῖργεν ἀποσοβῶν τοὺς ἐνυβρίζοντας, πλεῖστον ἔλεον καὶ φιλανθρωπίαν εἰς αὐτὴν ἐνδεικνύμενος, ἣ δὲ τῆς περὶ αὐτὴν συμπαθείας ἀποδεξαμένη τὸν ἄνδρα θαρρεῖν παρακελεύεται· ἐξαιτήσεσθαι γὰρ αὐτὸν ἀπελθοῦσαν παρὰ τοῦ ἑαυτῆς κυρίου καὶ οὐκ εἰς μακρὸν τῶν εἰς αὐτὴν πεπραγμένων τὴν ἀμοιβὴν ἀποτίσειν αὐτῷ.

4 ταῦτα δ' εἰποῦσαν γενναίως τὴν ἔξοδον ὑποστῆναι, πίττης ἐμπύρου κατὰ διάφορα μέρη τοῦ σώματος ἀπ' ἄκρων ποδῶν καὶ μέχρι κορυφῆς ἠρέμα καὶ κατὰ βραχὺ περιχυθείσης αὐτῇ.

5 καὶ ὁ μὲν τῆς ἀοιδίμου κόρης τοιοῦτος κατηγώνιστο ἆθλος· οὐ μακρὸν δὲ χρόνον διαλιπὼν ὁ Βασιλείδης ὅρκον διά τινα αἰτίαν πρὸς τῶν συστρατιωτῶν αἰτηθείς, μὴ ἐξεῖναι αὐτῷ τὸ παράπαν ὀμνύναι διεβεβαιοῦτο· Χριστιανὸν γὰρ ὑπάρχειν καὶ τοῦτο ἐμφανῶς ὁμολογεῖν. παίζειν μὲν οὖν ἐνομίζετο τέως τὰ πρῶτα, ὡς δ' ἐπιμόνως ἀπισχυρίζετο, ἄγεται ἐπὶ τὸν δικαστήν· ἐφ' οὗ τὴν ἔνστασιν ὁμολογήσας, δεσμοῖς παραδίδοται.

6 τῶν δὲ κατὰ θεὸν ἀδελφῶν ὡς αὐτὸν ἀφικνουμένων καὶ τὴν αἰτίαν τῆς ἀθρόας καὶ παραδόξου ταύτης ὁρμῆς πυνθανομένων, λέγεται εἰπεῖν ὡς ἄρα Ποταμίαινα τρισὶν ὕστερον ἡμέραις τοῦ μαρτυρίου νύκτωρ ἐπιστᾶσα, στέφανον αὐτοῦ τῇ κεφαλῇ περιθεῖσα εἴη φαίη τε παρακεκληκέναι χάριν αὐτοῦ τὸν κύριον καὶ τῆς

[44] Sobre esta clase de promesas en que abunda el género hagiográfico, cf. H. Delehaye, *Les passions des martyrs et les genres littéraires* (Bruselas 1921) p.249-250.
[45] Cf. Mt 5,33-34.

consigo. Ante esto los hermanos le impartieron el sello del Señor[46], y al día siguiente, después de brillar en el testimonio del Señor, fue decapitado.

7 Se cuenta asimismo que, por las fechas mencionadas, muchos otros ciudadanos de Alejandría se acercaban en masa a la doctrina de Cristo, porque en sueños se les había aparecido Potamiena, según decían, y les había invitado a ello. Mas baste ya con esto.

6

[De Clemente de Alejandría]

Habiendo sucedido a Panteno, Clemente venía rigiendo la catequesis de Alejandría hasta aquel mismo tiempo, de manera que también Orígenes fue uno de sus discípulos[47]. Por lo menos Clemente, al consignar el material de sus *Stromateis*, en el libro primero, expone un cuadro cronológico señalando como límite la muerte de Cómodo, con lo cual queda claro que compuso esta obra en tiempos de Severo[48], cuya época se describe en la presente historia.

ἀξιώσεως τετυχηκέναι οὐκ εἰς μακρόν τε αὐτὸν παραλήψεσθαι. ἐπὶ τούτοις τῶν ἀδελφῶν τῆς ἐν κυρίῳ σφραγῖδος μεταδόντων αὐτῷ, τῇ μετέπειτα ἡμέρᾳ τῷ τοῦ κυρίου διαπρέψας μαρτυρίῳ τὴν κεφαλὴν ἀποτέμνεται.

7 καὶ ἄλλοι δὲ πλείους τῶν κατ' Ἀλεξάνδρειαν ἀθρόως τῷ Χριστοῦ λόγῳ προσελθεῖν κατὰ τοὺς δηλουμένους ἱστοροῦνται, ὡς δὴ καθ' ὕπνους τῆς Ποταμιαίνης ἐπιφανείσης καὶ προσκεκλημένης αὐτούς. ἀλλά ταῦτα μὲν ὧδε ἐχέτω·

Ϛ'

Πάνταινον δὲ Κλήμης διαδεξάμενος, τῆς κατ' Ἀλεξάνδρειαν κατηχήσεως εἰς ἐκεῖνο τοῦ καιροῦ καθηγεῖτο, ὡς καὶ τὸν Ὠριγένην τῶν φοιτητῶν γενέσθαι αὐτοῦ. τήν γέ τοι τῶν Στρωματέων πραγματείαν ὁ Κλήμης ὑπομνηματιζόμενος, κατὰ τὸ πρῶτον σύγγραμμα χρονικὴν ἐκθέμενος γραφήν, εἰς τὴν Κομόδου τελευτὴν περιγράφει τοὺς χρόνους, ὡς εἶναι σαφὲς ὅτι κατὰ Σευῆρον αὐτῷ πεπόνητο τά σπουδάσματα, οὗ τοὺς χρόνους ὁ παρὼν ἱστορεῖ λόγος.

[46] Esto es, el bautismo; cf. *supra* III 23,8.

[47] Es la primera afirmación de Eusebio sobre la dirección de la escuela catequética por Clemente; es lo que hará decir a San Jerónimo (*De vir. ill.* 54) que Orígenes sucedió a Clemente a la cabeza de dicha escuela; pero es muy poco probable que Clemente ejerciera esa dirección; cf. *supra* V 10,1 nota 195, como no deja de ser problemático el que también fuera maestro de Orígenes; cf. M. Hornschuh, *Das Leben des Origenes und die Entstehung der alexandrinischen Schule:* ZKG 71 (1960) 1-25.193-214 (demasiado radical, considera el relato de Eusebio sobre Orígenes «legendario en conjunto y en sus partes», p.3); R. de Sa, *L'École chrétienne d'Alexandrie et ses maîtres Clement et Origène:* Cahiers d'Alexandrie s. II 4 (1964) 3-19.

[48] Cf. Clemente de Alejandría, *Stromat.* 1,21,139-140.144-147. De hecho parece que sólo escribió en Alejandría y antes de la persecución de Severo el libro I. En el libro II da ya por comenzada la persecución (*Stromat.* 2,20,125); cf. Nautin, *Orig.* p.44-45.

7

[DEL ESCRITOR JUDAS]

En este mismo tiempo, otro escritor, Judas[49], comentando por escrito las setenta semanas de Daniel[50], detiene también su cronología en el décimo año de Severo[51]. También creía que la tan decantada aparición del anticristo se estaba ya entonces acercando. ¡Así de trastornadas tenía las mentes de la mayoría la violencia de aquella persecución contra nosotros![52].

8

[DE LA HAZAÑA DE ORÍGENES]

1 En este tiempo[53], estando ocupado en el trabajo de la catequesis en Alejandría, Orígenes lleva a cabo una hazaña que, si demuestra un ánimo inmaduro y juvenil, ofrece a la vez una prueba rotunda de fe y de continencia.

2 Efectivamente, tomando muy a la letra con ánimo bastante juvenil la frase: *Hay eunucos que se castraron a sí mismos por el reino de los cielos*[54] y pensando, por una parte, cumplir así la palabra del

Z'

Ἐν τούτῳ καὶ Ἰούδας, συγγραφέων ἕτερος, εἰς τὰς παρὰ τῷ Δανιὴλ ἑβδομήκοντα ἑβδομάδας ἐγγράφως διαλεχθείς, ἐπὶ τὸ δέκατον τῆς Σευήρου βασιλείας ἵστησιν τὴν χρονογραφίαν· ὃς καὶ τὴν θρυλουμένην τοῦ ἀντιχρίστου παρουσίαν ἤδη τότε πλησιάζειν ᾤετο· οὕτω σφοδρῶς ἡ τοῦ καθ' ἡμῶν τότε διωγμοῦ κίνησις τὰς τῶν πολλῶν ἀνατεταράχει διανοίας.

H'

1 Ἐν τούτῳ δὲ τῆς κατηχήσεως ἐπὶ τῆς Ἀλεξανδρείας τοὔργον ἐπιτελοῦντι τῷ Ὠριγένει πρᾶγμά τι πέπρακται φρενὸς μὲν ἀτελοῦς καὶ νεανικῆς, πίστεώς γε μὴν ὁμοῦ καὶ σωφροσύνης μέγιστον δεῖγμα περιέχον.

2 τὸ γὰρ «εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν» ἁπλούστερον καὶ νεανικώτερον ἐκλαβών, ὁμοῦ μὲν σωτήριον φωνὴν ἀπο-

[49] Nada más sabemos de él (San Jerónimo *[De vir. ill. 52]* sigue a Eusebio); por el nombre podía ser de origen judío. Aquí se le contrapone a Clemente.
[50] Cf. Dan 9,24.
[51] Cf. *supra* 2,2.
[52] Por las mismas fechas, finales del siglo II y comienzos del III, escribía en Roma Hipólito, al que preocupan grandemente los temas escatológicos, como reflejo —y también remedio— de la obsesión colectiva que aterrorizaba a las gentes en aquellos días; cf. TERTULIANO, *Apolog.* 32; E. R. DODDS, *Paganos y cristianos en una época de angustia* = Epifania 25 (Madrid 1975) p.141-144.
[53] La expresión es demasiado vaga para fijar la fecha. Posiblemente ocurrió el hecho en la primera época de exaltación ascética; cf. *supra* 3,9-13, es decir, entre 206 y 210.
[54] Mt 19,12.

Salvador, y por otra, con el fin de evitar entre los infieles toda sospecha y calumnia vergonzosa, puesto que, siendo tan joven, trataba de las cosas de Dios no sólo con hombres, sino también con mujeres, se decidió a poner por obra la palabra del Salvador, cuidando de que pasara inadvertido a la mayoría de sus discípulos [55].

3 Pero no le era posible, aun queriéndolo, ocultar hazaña semejante, y así más tarde lo supo Demetrio, como presidente de aquella iglesia. Mucho fue lo que le admiró por aquella hazaña, y aceptando el celo y la sinceridad de su fe, le exhortaba a tener ánimo y le estimulaba a empeñarse ahora con más fuerza en la obra de la catequesis.

4 Tal era, por entonces, la actitud de Demetrio. Pero no mucho tiempo después [56], viendo el éxito de Orígenes, su grandeza, su brillantez y su fama universal, fue víctima de humana pasión y trató de describir a los obispos de todo el mundo aquella hazaña como de todo punto absurda, cuando los obispos más probados y más ilustres de Palestina, a saber, los de Cesarea y Jerusalén [57], considerando a Orígenes digno de privilegio y del más alto honor, le impusieron las manos para ordenarlo de presbítero.

5 Así, pues, en el momento mismo en que Orígenes había alcanzado una gran gloria y se había conquistado en todas partes y entre todos los hombres no pequeño renombre y fama de virtud y sa-

πληροῦν οἰόμενος, ὁμοῦ δὲ καὶ διὰ τὸ νέον τὴν ἡλικίαν ὄντα μὴ ἀνδράσι μόνον, καὶ γυναιξὶ δὲ θεῖα προσομιλεῖν, ὡς ἂν πᾶσαν τὴν παρὰ τοῖς ἀπίστοις αἰσχρᾶς διαβολῆς ὑπόνοιαν ἀποκλείσειεν, τὴν σωτήριον φωνὴν ἔργοις ἐπιτελέσαι ὡρμήθη, τοὺς πολλοὺς τῶν ἀμφ' αὐτὸν γνωρίμων διαλαθεῖν φροντίσας.

3 οὐκ ἦν δὲ ἄρα δυνατὸν αὐτῷ καίπερ βουλομένῳ τοσοῦτον ἔργον ἐπικρύψασθαι. γνοὺς δῆτα ὕστερον ὁ Δημήτριος, ἅτε τῆς αὐτόθι παροικίας προεστώς, εὖ μάλα μὲν αὐτὸν ἀποθαυμάζει τοῦ τολμήματος, τὴν δέ γε προθυμίαν καὶ τὸ γνήσιον αὐτοῦ τῆς πίστεως ἀποδεξάμενος, θαρρεῖν παρακελεύεται, καὶ νῦν μᾶλλον ἔχεσθαι αὐτὸν τοῦ τῆς κατηχήσεως ἔργου παρορμᾷ.

4 ἀλλὰ τότε μὲν οὗτος τοιοῦτός τις ἦν· οὐ μακροῖς δὲ χρόνοις ὕστερον ὁ αὐτὸς ὁρῶν εὖ πράττοντα μέγαν τε καὶ λαμπρὸν καὶ παρὰ πᾶσιν ὄντα βεβοημένον, ἀνθρώπινόν τι πεπονθώς, τοῖς ἀνὰ τὴν οἰκουμένην ἐπισκόποις καταγράφειν ὡς ἀτοπωτάτου τοῦ πραχθέντος ἐπειρᾶτο, ὅτε τῶν κατὰ Παλαιστίνην οἱ μάλιστα δόκιμοι καὶ διαπρέποντες Καισαρείας τε καὶ Ἱεροσολύμων ἐπίσκοποι πρεσβείων τὸν Ὠριγένην καὶ τῆς ἀνωτάτω τιμῆς ἄξιον εἶναι δοκιμάσαντες, χεῖρας εἰς πρεσβυτέριον αὐτῷ τεθείκασιν.

5 τηνικαῦτα δ' οὖν εἰς μέγα δόξης προελθόντος ὄνομά τε παρὰ τοῖς πανταχῇ πᾶσιν ἀνθρώποις καὶ κλέος ἀρετῆς καὶ σοφίας οὐ σμικρὸν κτησαμένου, μηδεμιᾶς ἄλλης εὐπορῶν ὁ Δημήτριος κατηγορίας,

[55] Frente a los que han querido ver en esto un gesto simbólico, pero no un hecho real, cf. R. P. C. Hanson, *A note on Origen's self-mutilation*: VigCh 20 (1966) 81-82, que demuestra su realidad y la consiguiente aprobación por Demetrio, ya que la autocastración «era algo conocido entre los cristianos de la época de Orígenes y no pesaba sobre ella ordinariamente ninguna condena (p.81), y aduce toda una serie de textos confirmativos. Ello no impide la postura ulterior de Orígenes, *In Math. Comm.* 15,1-4, y la de su obispo (cf. *infra* § 4), desaprobándolo.

[56] Hacia los años 231-232: habían pasado, por lo tanto, bastantes años; cf. *infra* 23,4.

[57] Teoctisto de Cesarea y Alejandro de Jerusalén; cf. *infra* 23,4; 27.

biduría, Demetrio, no teniendo ningún otro motivo de acusación, armó un escándalo tremendo por aquella acción que Orígenes había cometido siendo un niño y se atrevió a envolver en sus acusaciones a los que le habían promovido al presbiterado.

6 Esto ocurrió, en realidad, poco tiempo después. Por entonces, sin embargo, Orígenes estaba entregado en Alejandría a la enseñanza divina para todos los que acudían a él, sin reservas, de noche e incluso durante el día, dedicando sin vacilación todo su tiempo a las ciencias divinas y a los discípulos que le frecuentaban.

7 Después de ejercer Severo el imperio durante dieciocho años, le sucede su hijo Antonino[58]. En este tiempo, uno de los que en la persecución se portaron virilmente y, tras los combates de su confesión, fueron preservados por la providencia divina, fue un tal Alejandro, mencionado hace un instante como obispo de la iglesia de Jerusalén[59]; por haberse distinguido en su confesión por Cristo se le consideró digno del mencionado episcopado, aunque Narciso[60], su predecesor, vivía todavía[61].

τῆς πάλαι ἐν παιδὶ γεγονυίας αὐτῷ πράξεως δεινὴν ποιεῖται διαβολήν, συμπεριλαβεῖν τολμήσας ταῖς κατηγορίαις τοὺς ἐπὶ τὸ πρεσβυτέριον αὐτὸν προάξαντας.

6 ταῦτα μὲν οὖν μικρὸν ἐπράχθη ὕστερον· τότε γε μὴν ὁ Ὠριγένης ἐπὶ τῆς Ἀλεξανδρείας τὸ τῆς θείας διδασκαλίας ἔργον εἰς ἅπαντας ἀφυλάκτως τοὺς προσιόντας νύκτωρ καὶ μεθ' ἡμέραν ἐπετέλει, τοῖς θείοις ἀόκνως μαθήμασιν καὶ τοῖς ὡς αὐτὸν φοιτῶσιν τὴν πᾶσαν ἀνατιθεὶς σχολήν.

7 Ἐπὶ δέκα δὲ καὶ ὀκτὼ ἔτεσιν τὴν ἀρχὴν ἐπικρατήσαντα Σευῆρον Ἀντωνῖνος ὁ παῖς διαδέχεται. ἐν τούτῳ δὲ τῶν κατὰ τὸν διωγμὸν ἀνδρισαμένων καὶ μετὰ τοὺς ἐν ὁμολογίαις ἀγῶνας διὰ προνοίας θεοῦ πεφυλαγμένων εἷς τις ὢν Ἀλέξανδρος, ὃν ἀρτίως ἐπίσκοπον τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας ἐδηλώσαμεν, οἷα ταῖς ὑπὲρ Χριστοῦ διαπρέψας ὁμολογίαις, τῆς δηλωθείσης ἐπισκοπῆς ἀξιοῦται, ἔτι Ναρκίσσου, ὃς ἦν αὐτοῦ πρότερος, περιόντος τῷ βίῳ.

[58] Muerto Septimio Severo el 4 de febrero de 211, le sucederán sus dos hijos—ya asociados anteriormente al imperio—Geta y Caracalla; pero al año, 26 de febrero de 212, Caracalla hizo asesinar a Geta y quedó solo en el imperio. Eusebio no menciona a Geta ni aquí ni en la *Cronica ad annum* 211: HELM, p.213. El nombre «Caracalla» con que se conoce a este emperador es un apodo; su nombre era Marco Aurelio Antonino. Cf. M. PLATNAUER, *The Life and Reign of L. Septimius Severus* (Oxford 1918).

[59] *Supra* § 4, pero sin nombrarlo; el nombre aparece sólo en la traducción latina de Rufino.

[60] Cf. *supra* V 12,2.

[61] Cf. *infra* 11,1; *Chronic. ad annum* 212: HELM, p.213.

9

[De los milagros de Narciso]

1 Muchos, pues, y diversos son los milagros que los ciudadanos de aquella iglesia recuerdan de Narciso, transmitidos por tradición de los hermanos que se han sucedido [62]. Entre ellos refieren también el siguiente prodigio realizado por él.

2 Dicen que una vez, durante la gran vigilia de Pascua, faltó el aceite a los diáconos [63], por lo cual se apoderó de toda la muchedumbre un gran desánimo. Narciso mandó entonces a los que preparaban las luces que sacasen agua y se la llevaran a él.

3 Hecho esto, oró sobre el agua y con toda la sinceridad de su fe en el Señor ordenó echarla en las lámparas. Ejecutado que se hubo también esto, por un poder maravilloso y divino y contra todo razonamiento, la naturaleza del agua cambió su cualidad en la del aceite, y muchos de los hermanos que allí estaban conservaron largo tiempo, desde entonces hasta nuestros días, un poquito de aquel aceite como prueba del milagro de entonces.

4 Muchas otras cosas dignas de mención se cuentan de la vida de este hombre, entre ellas también la siguiente. Unos pobres hombrecillos, incapaces de soportar el vigor de aquél y la constancia de su vida, temerosos de ser arrestados y sometidos a castigo, pues eran

Θ'

1 πολλὰ μὲν οὖν καὶ ἄλλα παράδοξα οἱ τῆς παροικίας πολῖται ὡς ἐκ παραδόσεως τῶν κατὰ διαδοχὴν ἀδελφῶν τοῦ Ναρκίσσου μνημονεύουσιν, ἐν οἷς καὶ τοιόνδε τι θαῦμα δι' αὐτοῦ γεγονὸς ἱστοροῦσιν.

2 κατὰ τὴν μεγάλην ποτὲ τοῦ πάσχα διανυκτέρευσιν τοὔλαιόν φασιν τοῖς διακόνοις ἐπιλιπεῖν· ἐφ' ᾧ τό πᾶν πλῆθος δεινῆς ἀθυμίας διαλαβούσης, τὸν Νάρκισσον τοῖς τὰ φῶτα παρασκευάζουσιν ἐπιτάξαι ὕδωρ ἀνιμήσαντας ὡς αὐτὸν κομιεῖσθαι.

3 τούτου δὲ ἅμα λόγῳ πραχθέντος, ἐπευξάμενον τῷ ὕδατι, ἐγχέαι κατὰ τῶν λύχνων πίστει τῇ εἰς τὸν κύριον γνησίᾳ παρακελεύσασθαι· ποιησάντων δὲ καὶ τοῦτο, παρὰ πάντα λόγον δυνάμει παραδόξῳ καὶ θείᾳ μεταβαλεῖν ἐξ ὕδατος εἰς ἐλαίου ποιότητα τὴν φύσιν, παρά τε πλείστοις τῶν αὐτόθι ἀδελφῶν ἐπὶ μήκιστον ἐξ ἐκείνου καὶ εἰς ἡμᾶς βραχύ τι δεῖγμα τοῦ τότε θαύματος φυλαχθῆναι.

4 ἄλλα τε πλεῖστα περὶ τοῦ βίου τοῦδε τοῦ ἀνδρὸς μνήμης ἄξια καταλέγουσιν, ἐν οἷς καὶ τοιόνδε τι. τὸ εὔτονον αὐτοῦ καὶ στερρὸν τοῦ βίου φαῦλοί τινες ἀνθρωπίσκοι μὴ οἷοί τε φέρειν, δέει τοῦ μὴ δίκην ὑποσχεῖν ἁλόντας, διὰ τὸ μυρία κακὰ ἑαυτοῖς συνεγνωκέναι, συσκευὴν κατ' αὐτοῦ προλαβόντες συρράπτουσιν καί τινα δεινὴν καταχέουσιν αὐτοῦ διαβολήν.

[62] Eusebio debió de recoger estos datos y los del capítulo siguiente de boca misma de los cristianos de Jerusalén; no parece que tenga ante sí documento escrito alguno, a no ser la carta mencionada *infra* 11,3.

[63] Dato interesante para la historia del culto, cf. F. Cabrol, *Huile:* DACL t.6, 2.ª col.2790-2791.

conscientes de sus delitos innumerables, tomaron la delantera y urdieron y esparcieron una calumnia terrible contra él.

5 Luego, con el fin de asegurarse la confianza de los oyentes, confirmaban con juramento sus acusaciones: uno juraba porque el fuego le destruyese; otro porque una enfermedad funesta consumiera su cuerpo, y un tercero, porque sus ojos cegaran. Pero ni aun así, ni siquiera jurando, un solo fiel les prestó atención, por la templanza de Narciso, que de siempre brilló ante todos y por su conducta virtuosa en todo.

6 El, sin embargo, no pudiendo sobrellevar en modo alguno la maldad de estas calumnias, y por otra parte, estando desde hacía largo tiempo en busca de una vida filosófica, huyó de la muchedumbre entera de la iglesia y pasó muchos años oculto en regiones desiertas y recónditas[64].

7 Pero el gran ojo de la justicia tampoco permaneció quieto ante tales desmanes, sino que a toda prisa se dio a la persecución de aquellos impíos con las mismas desgracias con que se habían ligado perjurando contra sí mismos, pues el primero, sin motivo ninguno, simplemente así, habiendo caído una chispita en la casa en que él moraba, incendiándola por completo durante la noche, pereció abrasado con toda su familia; el otro se vio de repente con el cuerpo, desde la planta de los pies hasta la cabeza, lleno de aquella enfermedad con que él mismo se castigó de antemano;

8 y el tercero, así que vio el final de los primeros, temblando ante la ineludible justicia de Dios que lo ve todo, hizo confesión pública de lo que habían tramado en común los tres. En su arrepen-

5 εἶτα πιστούμενοι τοὺς ἀκροωμένους, ὅρκοις ἐβεβαίουν τὰς κατηγορίας, καὶ ὃ μέν, ἦ μὴν ἀπόλοιτο πυρί, ὤμνυεν, ὃ δέ, ἦ μὴν σκαιᾷ νόσῳ δαπανηθείη τὸ σῶμα, ὁ δὲ τρίτος, ἦ μὴν τὰς ὁράσεις πηρωθείη· ἀλλ᾽ οὐδ᾽ οὕτως αὐτοῖς, καίπερ ὀμνύουσιν, τῶν πιστῶν τις προσεῖχε τὸν νοῦν διὰ τὴν εἰς πάντας λάμπουσαν ἐκ τοῦ παντὸς σωφροσύνην τε καὶ πανάρετον ἀγωγὴν τοῦ Ναρκίσσου.

6 αὐτός γε μὴν τὴν τῶν εἰρημένων μηδαμῶς ὑπομένων μοχθηρίαν καὶ ἄλλως ἐκ μακροῦ τὸν φιλόσοφον ἀσπαζόμενος βίον, διαδρὰς πᾶν τὸ τῆς ἐκκλησίας πλῆθος, ἐν ἐρημίαις καὶ ἀφανέσιν ἀγροῖς λανθάνων πλείστοις ἔτεσιν διέτριβεν.

7 ἀλλ᾽ οὐ καὶ ὁ τῆς δίκης μέγας ὀφθαλμὸς ἐπὶ τοῖς πεπραγμένοις ἠρέμει, μετῄει δὲ ὡς τάχιστα τοὺς ἀσεβεῖς αἷς καθ᾽ ἑαυτῶν ἐπιορκοῦντες κατεδήσαντο ἀραῖς. ὁ μὲν οὖν πρῶτος, ἐκ μηδεμιᾶς προφάσεως ἁπλῶς οὕτως, μικροῦ διαπεσόντος ἐφ᾽ ἧς κατέμενεν οἰκίας σπινθῆρος, νύκτωρ ὑφαφθείσης ἁπάσης, παγγενεὶ καταφλέγεται· ὃ δὲ ἀθρόως τὸ σῶμα ἐξ ἄκρων ποδῶν ἐπὶ κεφαλὴν ἧς αὐτὸς προσετίμησεν ἑαυτῷ νόσου πίμπλαται·

8 ὁ δὲ τρίτος τὰς τῶν προτέρων συνιδὼν ἐκβάσεις καὶ τοῦ πάντων ἐφόρου θεοῦ τρέσας τὴν ἀδιάδραστον δίκην, ὁμολογεῖ μὲν τοῖς πᾶσιν τὰ κοινῇ σφίσιν αὐτοῖς ἐσκευωρημένα, τοσαύταις δὲ κατετρύχετο μεταμελόμενος οἰμωγαῖς δακρύων τε ἐς τοσοῦτον οὐκ ἀπέλιπεν, ἕως ἄμφω διεφ-

64 Imposible precisar el alcance y características de esta retirada de Narciso, así como los verdaderos motivos que le impulsaron. Siempre es posible el anacronismo en esta clase de relatos. Su reaparición, cf. *infra* 10, hace el hecho todavía más enigmático.

timiento, se agotaba de tanto gemir y no cesaba de llorar, tanto que llegó a perder sus dos ojos. Tales fueron los castigos que sufrieron éstos por sus mentiras.

10

[De los obispos de Jerusalén]

Habiéndose retirado Narciso y no sabiendo nadie dónde podía hallarse, los obispos que presidían las iglesias limítrofes resolvieron imponer las manos a un nuevo obispo. Díos se llamaba éste. Después de presidir no mucho tiempo, le sucedió Germanión, y a éste, Gordio[65], bajo el cual reapareció Narciso, de alguna parte, como un resucitado. Los hermanos le llamaron de nuevo para ocupar la presidencia. Todos le admiraban todavía más, por causa de su retiro, de su filosofía y, sobre todo, por la venganza que Dios había obrado en su favor.

11

[De Alejandro]

1 Como quiera que Narciso no estaba ya en condiciones de ejercer el ministerio por causa de su extrema vejez, la providencia de Dios llamó al mencionado Alejandro[66], que era obispo de otra igle-

θάρη τὰς ὄψεις. καὶ οἶδε μὲν τῆς ψευδολογίας τοιαύτας ὑπέσχον τιμωρίας·

Ι'

τοῦ δὲ Ναρκίσσου ἀνακεχωρηκότος καὶ μηδαμῶς ὅπῃ ὢν τυγχάνοι, γινωσκομένου, δόξαν τοῖς τῶν ὁμόρων ἐκκλησιῶν προεστῶσιν, ἐφ' ἑτέρου μετίασιν ἐπισκόπου χειροτονίαν· Δῖος τούτῳ ὄνομα ἦν· ὃν οὐ πολὺν προστάντα χρόνον Γερμανίων διαδέχεται, καὶ τοῦτον Γόρδιος· καθ' ὃν ὥσπερ ἐξ ἀναβιώσεως ἀναφανεὶς ποθεν ὁ Νάρκισσος αὖθις ὑπὸ τῶν ἀδελφῶν ἐπὶ τὴν προστασίαν παρακαλεῖται, μειζόνως ἔτι μᾶλλον τῶν πάντων ἀγασθέντων αὐτὸν τῆς τε ἀναχωρήσεως ἕνεκα καὶ τῆς φιλοσοφίας καὶ ἐφ' ἅπασιν δι' ἣν παρὰ τοῦ θεοῦ κατηξίωτο ἐκδίκησιν.

ΙΑ'

1 καὶ δὴ μηκέθ' οἵου τε ὄντος λειτουργεῖν διὰ λιπαρὸν γῆρας, τὸν εἰρημένον Ἀλέξανδρον, ἐπίσκοπον ἑτέρας ὑπάρχοντα παροικίας, οἰκονομίᾳ θεοῦ ἐπὶ τὴν

13 »οἱ δὲ ἡλίσκοντο, καὶ τούτων οἱ μὲν ἄχρι δεσμῶν καὶ φυλακῆς χωρήσαντες, καί τινες καὶ πλείονας ἡμέρας καθειρχθέντες, εἶτα καὶ πρὶν ἐπὶ δικαστήριον ἐλθεῖν, ἐξωμόσαντο, οἱ δὲ καὶ βασάνοις ἐπὶ ποσὸν ἐγκαρτερήσαντες, πρὸς τὸ ἑξῆς ἀπεῖπον.

14 »οἱ δὲ στερροὶ καὶ μακάριοι στῦλοι τοῦ κυρίου κραταιωθέντες ὑπ' αὐτοῦ καὶ τῆς ἰσχυρᾶς ἐν αὐτοῖς πίστεως ἀξίαν καὶ ἀνάλογον δύναμιν καὶ καρτερίαν λαβόντες, θαυμαστοὶ γεγόνασιν αὐτοῦ τῆς βασιλείας μάρτυρες·

15 »ὧν πρῶτος Ἰουλιανός, ἄνθρωπος ποδαγρός, μὴ στῆναι, μὴ βαδίσαι δυνάμενος, σὺν ἑτέροις δύο τοῖς φέρουσιν αὐτὸν προσήχθη· ὧν ὁ μὲν ἕτερος εὐθὺς ἠρνήσατο, ὁ δ' ἕτερος, Κρονίων ὀνόματι, ἐπίκλην δὲ Εὔνους, καὶ αὐτὸς ὁ πρεσβύτης Ἰουλιανὸς ὁμολογήσαντες τὸν κύριον, διὰ πάσης τῆς πόλεως, μεγίστης

[296] Escenas parecidas las hallamos en SAN CIPRIANO, *De lapsis* 8, y en el *Martyrium Pionii* 12,2.
[297] En Alejandría, lo mismo que en Cartago, esta persecución produjo muchos apóstatas.
[298] Cf. Mt 19,23; Mc 10,23; Lc 18,24.
[299] Cf. Gál 2,9.
[300] Expresión cara a Dionisio; cf. *infra* 42,5; Act 28,23; Ap 1,9.

sabéis, a la vez que los iban azotando allá arriba, por último, con todo el pueblo agolpándose en torno, los abrasaron con cal viva [301].

16 »Y un soldado que los iba escoltando cuando eran conducidos al suplicio se enfrentó con los que prodigaban sus insultos, pero ellos se pusieron a gritar, y el valentísimo campeón de Dios, Besas, fue conducido al tribunal, y después de sobresalir en el gran combate por la religión, fue decapitado.

17 »Y otro aún, libio de nación, y verdadero Mácar por su nombre y por bendición divina [302], como el juez insistiera en exhortarle a renegar, no se dejó seducir, y lo quemaron vivo. Y después de éstos, Epímaco y Alejandro, quienes, tras haber permanecido presos largo tiempo soportando incontables sufrimientos de garfios y látigos, fueron también fundidos en cal viva [303].

18 »Y con éstos, cuatro mujeres [304]. A Ammonaria, una santa virgen, el juez mandó torturarla con toda saña y fuerza por haber hecho constar de antemano que no diría palabra que él le mandase, y como ella hiciera verdadera su promesa, la condujeron al suplicio. En cuanto a las demás, la venerabilísima anciana Mercuria, y Dionisia, madre de muchos hijos, a los que no amó, sin embargo, por encima del Señor, sintiéndose el juez avergonzado ante la ineficacia de sus torturas, y para no ser vencido por unas mujeres,

οὔσης ὡς ἴστε, καμήλοις ἐποχούμενοι καὶ μετέωροι μαστιγούμενοι, τέλος ἀσβέστῳ, περικεχυμένου τοῦ δήμου παντός, κατετάκησαν.

16 »στρατιώτης τε αὐτοῖς ἀπαγομένοις παραστὰς καὶ τοῖς ἐφυβρίζουσιν ἐναντιωθείς, ἐκβοησάντων ἐκείνων προσαχθεὶς ὁ ἀνδρειότατος ὁπλομάχος τοῦ θεοῦ Βησᾶς κἀν τῷ μεγάλῳ πολέμῳ τῷ περὶ τῆς εὐσεβείας ἀριστεύσας, ἀπετμήθη τὴν κεφαλήν.

17 »καί τις ἕτερος, τὸ μὲν γένος Λίβυς, τὴν δὲ προσηγορίαν ἅμα καὶ τὴν εὐλογίαν ἀληθὴς Μάκαρ, προτροπῆς αὐτῷ πολλῆς ὑπὸ τοῦ δικαστοῦ πρὸς ἄρνησιν γενομένης, οὐχ ὑπαχθεὶς ζῶν καταπέφλεκται. Ἐπίμαχός τε μετ' αὐτοὺς καὶ Ἀλέξανδρος μετὰ πολὺν ὃν ἔμειναν δεσμῶται χρόνον, μυρίας διενεγκόντες ἀλγηδόνας ξυστῆρας μάστιγας, [πυρὶ] ἀσβέστῳ καὶ οὗτοι διεχύθησαν.

18 »καὶ σὺν αὐτοῖς γυναῖκες τέσσαρες, Ἀμμωνάριόν τε ἁγία παρθένος, πάνυ φιλονείκως αὐτὴν ἐπὶ πλεῖστον τοῦ δικαστοῦ βασανίσαντος, ἅτε προαποφηναμένην ὅτι μηδὲν ὧν ἐκεῖνος κελεύοι φθέγξεται, ἀληθεύσασα τὴν ἐπαγγελίαν, ἀπήχθη· αἱ δὲ λοιπαί, ἡ σεμνοτάτη πρεσβῦτις Μερκουρία καὶ ἡ πολύπαις μέν, οὐχ ὑπὲρ τὸν κύριον δὲ ἀγαπήσασα τὰ τέκνα Διονυσία, καταιδεσθέντος εἰς ἀνήνυτον ἔτι βασανίζειν καὶ ὑπὸ γυναικῶν ἡττᾶσθαι τοῦ ἡγεμόνος, σιδήρῳ τεθνᾶσιν, μηκέτι βασάνων πεῖραν λαβοῦσαι·

301 G. Zunt (*A textual Note on Eusebius Hist. Eccles. VI 41,15:* VigCh 5 [1951] 50-54), basado en una sugerencia de Valois y en la interpretación que de este difícil pasaje hace Nicéforo Calixto (*Hist. Eccles.* 5,30), y teniendo en cuenta la traducción de Rufino, va más lejos que Schwartz (que sigue a BDM) y propone como texto: τέλος ἀσβεστῳ περικεχυμένοι, τοῦ δήμου περιστάντος, κατετάκησαν.

302 μάκαρ significa «feliz, dichoso»; cf. Mt 5,10-11.

303 De nuevo los Mss, influidos por Mt 3,12, se han deslizado a la lectura πυρὶ ἀσβέστῳ = «con fuego inextinguible», pero todo el contexto clama por el simple ἀσβέστῳ = «en cal viva».

304 De las cuatro mujeres sólo se nombra a tres; Rufino, después de Dionisio, alude a «otra Ammonaria», sin que sepamos en qué se apoya. Schwartz supone que el nombre había desaparecido ya del Ms utilizado por Eusebio.

hizo que murieran a espada y no probaran ya más tormentos; de hecho los había soportado por todas ellas, como paladín suyo, Ammonaria.

19 »Fueron entregados, además, los egipcios [305] Herón, Ater e Isidoro, y con ellos un muchacho de unos quince años, llamado Dióscoro. Primero probó el juez a seducir con palabras al muchacho, suponiéndole fácil de engañar, y a forzarle con tormentos por creerle fácil de ceder, pero Dióscoro ni se dejó persuadir ni cedió.

20 »A los otros los dilaceró ferocísimamente, y, como siguieran firmes, también los entregó al fuego. A Dióscoro, en cambio, lo dejó ir libre, admirado de cómo se había cubierto de gloria ante el público y cuán sapientísimas respuestas dio a su propio interrogatorio, y dijo que le añadía aquella demora por causa de su edad, para que se arrepintiese. Y ahora, el divinísimo Dióscoro está con nosotros, reservado para un combate más largo y para más duraderas lides [306].

21 »Y un tal Nemesión, egipcio también, fue acusado falsamente de vivir con ladrones, y cuando había logrado deshacer tan absurda calumnia ante el centurión, fue denunciado por cristiano y vino encadenado ante el gobernador. Este, injusto por demás, lo maltrató con tormentos y azotes en doble dosis que a los bandidos, y entre bandidos hizo quemar al bienaventurado, que así se veía honrado con el ejemplo de Cristo [307].

22 »Todo un piquete de soldados: Ammón, Zenón, Tolomeo e Ingenes [308], y con ellos un anciano, Teófilo, se hallaba de pie de-

τὰς γὰρ ὑπὲρ πασῶν ἡ πρόμαχος 'Αμμωνάριον ἀνεδέδεκτο.

19 »"Ηρων δὲ καὶ 'Ατὴρ καὶ 'Ισίδωρος Αἰγύπτιοι καὶ σὺν αὐτοῖς παιδάριον ὡς πεντεκαιδεκαέτης ὁ Διόσκορος παρεδόθησαν· καὶ πρῶτον τὸ μειράκιον λόγοις τε ἀπατᾶν ὡς εὐπαράγωγον καὶ βασάνοις καταναγκάζειν ὡς εὐένδοτον πειρωμένου, οὔτ' ἐπείσθη οὔτ' εἶξεν ὁ Διόσκορος·

20 »τοὺς δὲ λοιποὺς ἀγριώτατα καταξήνας, ἐγκαρτερήσαντας πυρὶ καὶ τούτους ἔδωκεν. τὸν δὲ Διόσκορον ἐλλαμπρυνάμενόν τε δημοσίᾳ καὶ σοφώτατα πρὸς τὰς ἰδίας πεύσεις ἀποκρινάμενον θαυμάσας, παρῆκεν, ὑπέρθεσιν φήσας εἰς μετάνοιαν αὐτῷ διὰ τὴν ἡλικίαν ἐπιμετρεῖν· καὶ νῦν ὁ θεοπρεπέστατος σὺν ἡμῖν ἐστιν Διόσκορος, εἰς μακρότερον τὸν ἀγῶνα καὶ διαρκέστερον μείνας τὸν ἆθλον.

21 »Νεμεσίων δέ τις, κἀκεῖνος Αἰγύπτιος, ἐσυκοφαντήθη μὲν ὡς δὴ σύνοικος λῃστῶν, ἀπολυσάμενος δὲ ταύτην παρὰ τῷ ἑκατοντάρχῳ τὴν ἀλλοτριωτάτην διαβολήν, καταμηνυθεὶς ὡς Χριστιανὸς ἧκεν δεσμώτης ἐπὶ τὸν ἡγούμενον· ὁ δὲ ἀδικώτατος διπλαῖς αὐτὸν ἢ τοὺς λῃστὰς ταῖς τε βασάνοις καὶ ταῖς μάστιξιν λυμηνάμενος, μεταξὺ τῶν λῃστῶν κατέφλεξεν τιμηθέντα τὸν μακάριον τῷ τοῦ Χριστοῦ παραδείγματι.

22 »ἀθρόον δέ τι σύνταγμα στρατιωτικόν, "Αμμων καὶ Ζήνων καὶ Πτολεμαῖος

[305] Los alejandrinos se consideraban griegos, distintos de los egipcios; de éstos hablan como grupo étnico y cultural diferente; cf., v.gr., *infra* VII 11,12.17.

[306] No se habla del final que tuvo Dióscoro. Al parecer, se esperaba de un momento a otro un recrudecimiento de la persecución; cf. San Cipriano, *Epist.* 57,1.1.

[307] Cf. Mt 27,38; Mc 15,27; Lc 23,33; Jn 19,18.

[308] En latín, *ingenuus*.

lante del tribunal. Se estaba juzgando a un hombre por ser cristiano, y cuando ya se iba inclinando hacia la apostasía, aquéllos, que estaban presentes, empezaron a rechinar los dientes y hacían señas con la cabeza y extendían las manos y gesticulaban con todo el cuerpo [309].

23 »Todos se volvieron hacia ellos, y entonces, antes de que los prendieran por otros motivos, ellos mismos se adelantaron corriendo hacia el estrado, diciendo que eran cristianos, por lo que tanto el gobernador como sus asesores se llenaron de miedo y parecía que, mientras los reos se mostraban animadísimos para lo que iban a padecer, los jueces estaban acobardados. Y así aquellos soldados salieron en triunfo del tribunal rebosantes de gozo por su testimonio: Dios los hacía triunfar gloriosamente» [310].

42

[De otros mártires mencionados por Dionisio]

1 «Y muchísimos otros fueron despedazados por los paganos en ciudades y aldeas, de los cuales recordaré uno solamente por vía de ejemplo. Isquirión era intendente a sueldo de uno de los magistrados. Su amo le mandó sacrificar, y como él no obedeciera, comenzó a injuriarlo; persistió en su negativa, y el amo le maltrataba; como todo lo soportara, agarró éste una estaca enorme y, atravesándole intestinos y entrañas, lo mató.

2 »Y ¿qué decir de la muchedumbre de los que anduvieron

καὶ Ἰγγένης καὶ σὺν αὐτοῖς πρεσβύτης Θεόφιλος, εἱστήκεισαν πρὸ τοῦ δικαστηρίου· κρινομένου δή τινος ὡς Χριστιανοῦ καὶ πρὸς ἄρνησιν ἤδη ῥέποντος, ἐπρίοντο οὗτοι παρεστηκότες, καὶ τοῖς τε προσώποις ἐνένευον καὶ τὰς χεῖρας ἀνέτεινον καὶ συνεσχηματίζοντο τοῖς σώμασιν.

23 »ἐπιστροφῆς δὲ πάντων πρὸς αὐτοὺς γενομένης, πρίν τινας αὐτῶν ἄλλως λαβέσθαι, φθάσαντες ἐπὶ τὸ βάθρον ἀνέδραμον, εἶναι Χριστιανοὶ λέγοντες, ὡς τόν τε ἡγεμόνα καὶ τοὺς συνέδρους ἐμφόβους γενέσθαι, καὶ τοὺς μὲν κρινομένους εὐθαρσεστάτους ἐφ' οἷς πείσονται, φαίνεσθαι, τοὺς δὲ δικάζοντας ἀποδειλιᾶν. καὶ οὗτοι μὲν ἐκ δικαστηρίων ἐνεπόμπευσαν καὶ ἠγαλλιάσαντο τῇ μαρτυρίᾳ, θριαμβεύοντος αὐτοὺς ἐνδόξως τοῦ θεοῦ·

ΜΒ'

1 »ἄλλοι δὲ πλεῖστοι κατὰ πόλεις καὶ κώμας ὑπὸ τῶν ἐθνῶν διεσπάσθησαν, ὧν ἑνὸς παραδείγματος ἕνεκεν ἐπιμνησθήσομαι. Ἰσχυρίων ἐπετρόπευέν τινι τῶν ἀρχόντων ἐπὶ μισθῷ. τοῦτον ὁ μισθοδότης ἐκέλευσεν θῦσαι, μὴ πειθόμενον ὕβριζεν, ἐμμένοντα προεπηλάκιζεν, ὑφισταμένου, βακτηρίαν μεγίστην λαβὼν διὰ τῶν ἐντέρων καὶ τῶν σπλάγχνων διώσας, ἀπέκτεινεν.

2 »τί δεῖ λέγειν τὸ πλῆθος τῶν ἐν ἐρημίαις καὶ ὄρεσιν πλανηθέντων, ὑπὸ λιμοῦ

[309] Un caso parecido lo hemos visto *supra* V 1,49s.
[310] Cf. 2 Cor 2,14.

errantes por desiertos y montes y perecieron de hambre, de sed, de frío y de enfermedad, o presa de ladrones y de fieras?[311]. De su elección y su victoria son testigos los que de entre ellos sobrevivieron. Como prueba de todos, citaré también un solo caso.

3 »Queremón era ya muy anciano y obispo de la ciudad llamada Nilópolis[312]. Habiendo huido con su mujer a la montaña de Arabia[313], no regresó más, y los hermanos, a pesar de que escudriñaron bien muchas zonas, no pudieron dar con ellos ni con sus cadáveres.

4 »Muchos son los que en esa misma montaña de Arabia fueron reducidos a esclavitud por los bárbaros sarracenos[314]; de ellos, unos han sido rescatados con gran dificultad y a cambio de mucho dinero; y otros no, hasta hoy.

»Y si te he explicado esto, hermano, no es sin motivo, sino para que sepas cuántas y qué terribles pruebas nos han sobrevenido, y aún pudieran contar más los que más han experimentado».

5 Y luego, después de breves líneas, prosigue diciendo:

«Por lo tanto, los mismos divinos mártires de entre nosotros, que ahora son asesores de Cristo y partícipes de su reino y de su juicio, y que junto a él dictan sentencia[315], recibieron a algunos de los hermanos caídos que se habían hecho culpables de haber sacrificado. Cuando vieron su conversión y arrepentimiento y juzgaron que podía ser aceptable al que no quiere en absoluto la muerte

καὶ δίψης καὶ κρύους καὶ νόσων καὶ λῃστῶν καὶ θηρίων διεφθαρμένων; ὧν οἱ περιγενόμενοι τῆς ἐκείνων εἰσὶν ἐκλογῆς καὶ νίκης μάρτυρες, ἓν δὲ καὶ τούτων εἰς δήλωσιν ἔργον παραθήσομαι.

3 »Χαιρήμων ἦν ὑπέργηρως τῆς Νείλου καλουμένης πόλεως ἐπίσκοπος. οὗτος εἰς τὸ Ἀράβιον ὄρος ἅμα τῇ συμβίῳ ἑαυτοῦ φυγών, οὐκ ἐπανελήλυθεν, οὐδὲ ἐδυνήθησαν ἰδεῖν οὐκέτι, καίτοι πολλὰ διερευνησάμενοι, οἱ ἀδελφοὶ οὔτε αὐτοὺς οὔτε τὰ σώματα.

4 »πολλοὶ δὲ οἱ κατ' αὐτὸ τὸ Ἀραβικὸν ὄρος ἐξανδραποδισθέντες ὑπὸ βαρβάρων Σαρακηνῶν· ὧν οἱ μὲν μόλις ἐπὶ πολλοῖς χρήμασιν ἐλυτρώθησαν, οἱ δὲ μέχρι νῦν οὐδέπω. καὶ ταῦτα διεξῆλθον οὐ μάτην, ἀδελφέ, ἀλλ' ἵνα εἰδῇς ὅσα καὶ ἡλίκα δεινὰ παρ' ἡμῖν συνέβη· ὧν οἱ μᾶλλον πεπειραμένοι πλείονα ἂν εἰδεῖεν.»

5 εἶτα τούτοις ἐπιφέρει μετὰ βραχέα λέγων

«αὐτοὶ τοίνυν οἱ θεῖοι μάρτυρες παρ' ἡμῖν, οἱ νῦν τοῦ Χριστοῦ πάρεδροι καὶ τῆς βασιλείας αὐτοῦ κοινωνοὶ καὶ μέτοχοι τῆς κρίσεως αὐτοῦ καὶ συνδικάζοντες αὐτῷ, τῶν παραπεπτωκότων ἀδελφῶν τινας ὑπευθύνους τοῖς τῶν θυσιῶν ἐγκλήμασιν γενομένους προσελάβοντο, καὶ τὴν ἐπιστροφὴν καὶ μετάνοιαν αὐτῶν ἰδόντες δεκτήν τε γενέσθαι δυναμένην τῷ μὴ βουλομένῳ καθόλου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν δοκιμάσαντες, εἰσεδέξαντο καὶ συνήγαγον καὶ συνέστησαν καὶ προσευχῶν αὐτοῖς καὶ ἑστιάσεων ἐκοινώνησαν.

311 Cf. Heb 11,38.
312 En la parte occidental del Nilo, cerca de Heracleópolis Magna.
313 El largo desierto montañoso que se extiende al este del Nilo y al sur de Heroópolis.
314 Es la primera vez que este nombre aparece en la literatura cristiana; eran los habitantes de la montaña de Arabia, y no se les consideraba egipcios.
315 Cf. Mt 19,28; Ap 20,4; 1 Cor 6,2-3.

del pecador, sino su arrepentimiento [316], los recibieron, los congregaron, los reunieron y les dieron parte en sus oraciones y comidas [317].

6 »¿Qué nos aconsejáis, pues, vosotros sobre esto, hermanos? ¿Qué hemos de hacer? ¿Nos pondremos de parte de su voto y de su mismo sentir y guardaremos su juicio y su gracia, y seremos buenos para con los que ellos compadecieron, o bien tendremos por injusta su decisión y nos impondremos nosotros mismos como jueces de su opinión, contristando su bondad y trastornando el orden establecido?»

Esto es lo que Dionisio, con buen acuerdo, nos confía al remover el tema de los que habían desfallecido en la temporada de persecución.

43

[De Novato, su conducta y su herejía]

1 Fue entonces precisamente cuando Novato [318], presbítero de la iglesia de Roma, ensoberbecido contra éstos, como si ya no existiera para ellos esperanza de salvación ni siquiera cumpliendo todo lo conducente a una sincera conversión y a una confesión pura, se constituyó en fundador de una herejía particular, la de aquellos que, por orgullo de su razón, se declaraban a sí mismos puros.

6 »τί οὖν ἡμῖν, ἀδελφοί, περὶ τούτων συμβουλεύετε; τί ἡμῖν πρακτέον; σύμψηφοι καὶ ὁμογνώμονες αὐτοῖς καταστῶμεν καὶ τὴν κρίσιν αὐτῶν καὶ τὴν χάριν φυλάξωμεν καὶ τοῖς ἐλεηθεῖσιν ὑπ' αὐτῶν χρηστευσώμεθα, ἢ τὴν κρίσιν αὐτῶν ἄδικον ποιησώμεθα καὶ δοκιμαστὰς αὐτοὺς τῆς ἐκείνων γνώμης ἐπιστήσωμεν καὶ τὴν χρηστότητα λυπήσωμεν καὶ τὴν τάξιν ἀνασκευάσωμεν;»

ΜΓ'

1 Ταῦτα δ' εἰκότως ὁ Διονύσιος παρατέθειται, τὸν περὶ τῶν ἐξησθενηκότων κατὰ τὸν τοῦ διωγμοῦ καιρὸν ἀνακινῶν λόγον, ἐπειδήπερ τῇ κατὰ τούτων ἀρθεὶς ὑπερηφανίᾳ Νοουάτος, τῆς Ῥωμαίων ἐκκλησίας πρεσβύτερος, ὡς μηκέτ' οὔσης αὐτοῖς σωτηρίας ἐλπίδος μηδ' εἰ πάντα τὰ εἰς ἐπιστροφὴν γνησίαν καὶ καθαρὰν ἐξομολόγησιν ἐπιτελοῖεν, ἰδίας αἱρέσεως τῶν κατὰ λογισμοῦ φυσίωσιν Καθαροὺς ἑαυτοὺς ἀποφηνάντων ἀρχηγὸς καθίσταται·

[316] Cf. Ez 18,23; 33,11; 2 Pe 3,9.

[317] También en Alejandría y Egipto se plantea el problema de los «confesores», que a veces se excedían en sus atribuciones. Aquí parecen intervenir activamente en el proceso de reconciliación de los «lapsi»; cf. A. Martin, *La réconciliation des «lapsi» en Egypte. De Denys à Pierre d'Alexandrie. Une querelle de clercs*: Rivista di Storia e letteratura religiosa 22 (1986) 256-269. San Cipriano aborda el asunto más expresamente en su epistolario; cf. A. d'Alès, *L'édit de Calliste. Etude sur les origines de la pénitence chrétienne* (París 1914) p.346. Nótese la terminología de la última frase, terminología técnica de la disciplina sacramental.

[318] Eusebio no acaba de aclararse en los asuntos de la iglesia latina: aquí llama Novato (aunque en este caso le siguen otros escritores griegos) a Novaciano, el cismático presbítero romano, luego antipapa. Cf. A. d'Alès, *Novatien* (París 1925).

2 Por este motivo se reunió en Roma un concilio numerosísimo, con sesenta obispos y un número todavía mayor de presbíteros y diáconos [319], mientras, en las demás provincias [320], los pastores locales examinaban en particular a fondo lo que se había de hacer. Todos tomaron una decisión [321]: que Novato, junto los que se habían alzado con él, así como los que habían preferido aprobar el parecer antifraterno e inhumano en sumo grado de semejante hombre, quedaban considerados como ajenos a la Iglesia. En cambio, los hermanos caídos en aquella calamidad debían ser curados y cuidados con las medicinas de la penitencia.

3 Ha llegado, pues, hasta nosotros [322] una carta del obispo de Roma Cornelio, escrita al de la iglesia de Antioquía, Fabio, que declara los hechos relativos al concilio de Roma y a las decisiones de los de Italia, de Africa y de las regiones de aquellos lugares. También nos han llegado otras, compuestas en lengua latina, de Cipriano y de sus colegas de Africa, a través de las cuales ponían de manifiesto que también ellos eran del parecer de que era necesario socorrer a los que habían caído en la prueba y de que en buena razón era preciso proclamar expulsado de la Iglesia católica al fundador de la herejía, lo mismo que a todos los que se habían dejado extraviar por él [323].

2 ἐφ' ᾧ συνόδου μεγίστης ἐπὶ Ῥώμης συγκροτηθείσης ἑξήκοντα μὲν τὸν ἀριθμὸν ἐπισκόπων, πλειόνων δ' ἔτι μᾶλλον πρεσβυτέρων τε καὶ διακόνων, ἰδίως τε κατὰ τὰς λοιπὰς ἐπαρχίας τῶν κατὰ χώραν ποιμένων περὶ τοῦ πρακτέου διασκεψαμένων, δόγμα παρίσταται τοῖς πᾶσιν, τὸν μὲν Νοουάτον ἅμα τοῖς σὺν αὐτῷ συνεπαρθεῖσιν τούς τε συνευδοκεῖν τῇ μισαδέλφῳ καὶ ἀπανθρωποτάτῃ γνώμῃ τἀνδρὸς προαιρουμένους ἐν ἀλλοτρίοις τῆς ἐκκλησίας ἡγεῖσθαι, τοὺς δὲ τῇ συμφορᾷ περιπεπτωκότας τῶν ἀδελφῶν ἰᾶσθαι καὶ θεραπεύειν τοῖς τῆς μετανοίας φαρμάκοις.

3 ἦλθον δ' οὖν εἰς ἡμᾶς ἐπιστολαὶ Κορνηλίου Ῥωμαίων ἐπισκόπου πρὸς τὸν τῆς Ἀντιοχέων ἐκκλησίας Φάβιον, δηλοῦσαι τὰ περὶ τῆς Ῥωμαίων συνόδου καὶ τὰ δόξαντα τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Ἀφρικὴν καὶ τὰς αὐτόθι χώρας, καὶ ἄλλαι πάλιν, Ῥωμαϊκῇ φωνῇ συντεταγμέναι, Κυπριανοῦ καὶ τῶν ἅμ' αὐτῷ κατὰ τὴν Ἀφρικήν, δι' ὧν τὸ καὶ αὐτοὺς συνευδοκεῖν τῷ δεῖν τυγχάνειν ἐπικουρίας τοὺς πεπειρασμένους ἐνεφαίνετο καὶ τῷ χρῆναι εὐλόγως τῆς καθολικῆς ἐκκλησίας ἐκκήρυκτον ποιήσασθαι τὸν τῆς αἱρέσεως ἀρχηγὸν πάντας τε ὁμοίως τοὺς συναπαγομένους αὐτῷ.

319 Este concilio, que, por los numerosos obispos asistentes, nos permite calcular la extensión del cristianismo por estas fechas en Italia, se celebró el año 251, quizás en junio.

320 Es posible que aluda especialmente al concilio convocado por San Cipriano poco antes en Cartago (abril de 251) y cuyas decisiones el mismo Cipriano transmite al papa Cornelio (*Epist.* 44-45), decisiones que el concilio de Roma aceptó; cf. J. A. Fischer, *Die Konzilien zu Karthago und Rom im Jahr* 251: Annuarium Historiae Conciliorum 11 (1979) 263-286.

321 No se puede determinar si, al decir «todos», se refiere a los reunidos en el concilio de Roma solamente, o también, con éstos, a los «pastores locales de las demás provincias». El texto, sin embargo, permite también otra traducción: «se tomó una decisión para todos», es decir, válida para todos, aunque adoptada en Roma.

322 Eusebio va a dar cuenta de una serie de cartas que, seguramente, halló reunidas en un legajo. Se ha perdido el texto de todas ellas; sólo nos han quedado los fragmentos citados luego.

323 Eusebio parece indicar que las decisiones africanas son posteriores a las de Roma y de importancia menor, o de simple confirmación; la realidad es totalmente inversa.

4 Junto con esas cartas venía otra de Cornelio acerca de las decisiones del concilio, y además otra sobre las actuaciones de Novato. Nada nos impide citar un párrafo de ésta para que sepan lo concerniente a él quienes lean este libro.

5 Explicando a Fabio qué clase de hombre era Novato, Cornelio escribe lo siguiente:

«Y para que sepas que este extraño individuo venía desde hace largo tiempo deseando el episcopado [324] y que escondía en sí mismo esta su violenta pasión utilizando como tapadera de su locura el hecho de tener con él en un comienzo a los confesores [325], quiero explicarme:

6 »Máximo [326], uno de nuestros presbíteros, y Urbano, los dos habían cosechado por dos veces la mejor de las glorias por su confesión; luego Sidonio y también Celerino, varón que, por la misericordia de Dios, había soportado con la mayor entereza todos los tormentos y que, robusteciendo la debilidad de su carne con el vigor de su fe, había vencido a viva fuerza al adversario; estos hombres, digo, conocieron a aquél, y después que descubrieron la malicia que en él había y su doblez, sus perjurios, sus engaños, su insociabilidad y su lupina amistad, retornaron a la santa Iglesia y revelaron todas sus maquinaciones y acciones malvadas, que ya tenía desde hacía mucho tiempo, pero que iba ocultando en sí mismo, hallándose presentes bastantes obispos [327] y gran número de presbíteros y laicos, y se dolían y arrepentían de haber abandonado

4 ταύταις ἄλλη τις ἐπιστολὴ συνῆπτο τοῦ Κορνηλίου περὶ τῶν κατὰ τὴν σύνοδον ἀρεσάντων καὶ πάλιν ἑτέρα περὶ τῶν κατὰ Νοουάτον πραχθέντων· ἀφ' ἧς καὶ μέρη παραθέσθαι οὐδὲν ἂν κωλύοι, ὅπως εἰδεῖεν τὰ κατ' αὐτὸν οἱ τῇδε ἐντυγχάνοντες τῇ γραφῇ.

5 τὸν δὴ οὖν Φάβιον ἀναδιδάσκων ὁποῖός τις ὁ Νοουάτος γεγόνοι τὸν τρόπον, αὐτὰ δὴ ταῦτα γράφει ὁ Κορνήλιος.

«ἵνα δὲ γνῷς ὅτι πρόπαλαι ὀρεγόμενος τῆς ἐπισκοπῆς ὁ θαυμάσιος οὗτος καὶ κρύπτων ἐν αὑτῷ τὴν προπετῆ ταύτην αὐτοῦ ἐπιθυμίαν ἐλάνθανεν, ἐπικαλύμματι τῆς αὐτοῦ ἀπονοίας τῷ κατ' ἀρχὰς σὺν αὐτῷ τοὺς ὁμολογητὰς ἐσχηκέναι χρώμενος, εἰπεῖν βούλομαι.

6 »Μάξιμος πρεσβύτερος τῶν παρ' ἡμῖν καὶ Οὐρβανός, δὶς τὴν ἐξ ὁμολογίας δόξαν ἀρίστην καρπωσάμενοι, Σιδόνιός τε καὶ Κελερῖνος, ἀνὴρ ὃς πάσας βασάνους διὰ τὸν τοῦ θεοῦ ἔλεον καρτερικώτατα διενέγκας καὶ τῇ ῥώμῃ τῆς αὐτοῦ πίστεως τὸ ἀσθενὲς τῆς σαρκὸς ἐπιρρώσας, κατὰ κράτος νενίκηκεν τὸν ἀντικείμενον, οὗτοι δὴ οὖν οἱ ἄνδρες κατανοήσαντες αὐτὸν καὶ καταφωράσαντες τὴν ἐν αὐτῷ πανουργίαν τε καὶ παλιμβολίαν τάς τε ἐπιορκίας καὶ τὰς ψευδολογίας καὶ τὴν ἀκοινωνησίαν αὐτοῦ καὶ λυκοφιλίαν, ἐπανῆλθον εἰς τὴν ἁγίαν ἐκκλησίαν, καὶ ἅπαντα αὐτοῦ τὰ τεχνάσματα καὶ πονηρεύματα, ἃ ἐκ πολλοῦ ἔχων ἐν ἑαυτῷ ὑπεστέλλετο, παρόντων ἱκανῶν τοῦτο μὲν ἐπισκόπων τοῦτο δὲ πρεσβυτέρων καὶ λαϊκῶν ἀνδρῶν παμπόλλων, ἐξήγ-

[324] Cf. *infra* § 7; 1 Tim 3,1.

[325] Los *confessores*, quienes, lo mismo en Roma que en Cartago, fueron más de una vez víctimas de los manejos de algunos ambiciosos sin escrúpulos.

[326] Este y los demás confesores del grupo aquí citado—entre los que hay presbíteros, diáconos y laicos—nos son conocidos además por el epistolario de San Cipriano *(Epist.* 21. 22.27.28.32.37.39.49.50 y 52-54); cf. J. Campos, *Obras de San Cipriano:* BAC 241 (Madrid 1964) p.428ss.

[327] Cinco, según la carta de Cornelio; cf. San Cipriano, *Epist.* 49,2.

por breve tiempo la Iglesia, persuadidos por aquella bestia pérfida y malvada».

7 Luego dice tras breve espacio:

«¡Es extraordinario, querido hermano, el cambio y transformación que en breve tiempo hemos contemplado en él! Porque, siendo una persona brillantísima [328] y que hacía creer con juramentos tremendos que en modo alguno deseaba el episcopado [329], de repente aparece ya obispo, como arrojado en medio por arte de encantamiento.

8 »Efectivamente, este expositor de doctrinas [330], este campeón de la ciencia eclesiástica, cuando se empeñó en arrancar para sí y arrebatar el episcopado, que no se le había dado de arriba, se escogió dos partidarios suyos, desesperados de su propia salvación, para enviarlos a cierta parte de Italia, pequeña e insignificante, y allí engañar con amañada argumentación a tres obispos [331], hombres rústicos y muy simples, afirmando enérgicamente y sosteniendo con fuerza que era preciso que se presentaran rápidamente en Roma para que, por su mediación y con ayuda de otros obispos, se pusiera fin a toda la disensión que había surgido.

9 »Así que llegaron—gentes, como ya nos apresuramos a de-

γειλαν, ἀποδυρόμενοι καὶ μεταγινώσκοντες ἐφ' οἷς πεισθέντες τῷ δολερῷ καὶ κακοήθει θηρίῳ πρὸς ὀλίγον χρόνον τῆς ἐκκλησίας ἀπελείφθησαν».

7 εἶτα μετὰ βραχέα φησίν

«ἀμήχανον ὅσην, ἀγαπητὲ ἀδελφέ, τροπὴν καὶ μεταβολὴν ἐν βραχεῖ καιρῷ ἐθεασάμεθα ἐπ' αὐτοῦ γεγενημένην. ὁ γάρ τοι λαμπρότατος καὶ δι' ὅρκων φοβερῶν τινων πιστούμενος τὸ μηδ' ὅλως ἐπισκοπῆς ὀρέγεσθαι, αἰφνίδιον ἐπίσκοπος ὥσπερ ἐκ μαγγάνου τινὸς εἰς τὸ μέσον ῥιφεὶς ἀναφαίνεται.

8 »οὗτος γάρ τοι ὁ δογματιστής, ὁ τῆς ἐκκλησιαστικῆς ἐπιστήμης ὑπερασπιστής, ὁπηνίκα παρασπᾶσθαί τε καὶ ὑφαρπάζειν τὴν μὴ δοθεῖσαν αὐτῷ ἄνωθεν ἐπισκοπὴν ἐπεχείρει, δύο ἑαυτῷ κοινωνούς, ἀπεγνωκότας τῆς ἑαυτῶν σωτηρίας, ἐπελέξατο, ὡς ἂν εἰς βραχύ τι μέρος καὶ ἐλάχιστον τῆς Ἰταλίας ἀποστείλῃ κἀκεῖθεν ἐπισκόπους τρεῖς, ἀνθρώπους ἀγροίκους καὶ ἁπλουστάτους, πλαστῇ τινι ἐπιχειρήσει ἐξαπατήσῃ, διαβεβαιούμενος καὶ διισχυριζόμενος δεῖν αὐτοὺς ἐν τάχει παραγενέσθαι εἰς Ῥώμην, ὡς δῆθεν πᾶσα ἥτις δήποτε οὖν διχοστασία γεγονυῖα σὺν καὶ ἑτέροις ἐπισκόποις καὶ αὐτῶν μεσιτευόντων διαλυθῇ.

9 »οὓς παραγενομένους, ἅτε δή, ὡς ἔφθημεν λέγοντες, ἀνθρώπους ἁπλουστέ-

[328] Las cartas por él escritas y conservadas entre las de San Cipriano (*Epist.* 30 y 36), así como sus tratados conocidos, especialmente el *De Trinitate* y el *De cibis iudaicis*, corroboran esta afirmación; San Cipriano (*Epist.* 55,24 y 60,3) lo llama filósofo, y reconoce su elocuencia. Cf. H. WEYER, *Novatianus, De Trinitate, Ueber den dreifaltigen Gott.* Text und Uebersetzung, mit Einleitung und Kommentar: Testimonia 2 (Düsseldorf 1962); C. GRANADO, *Novaciano, La Trinidad.* Introducción, edición crítica y traducción = Fuentes Patrísticas, 8 (Madrid 1996).

[329] Posiblemente, estos juramentos eran sinceros por parte de Novaciano (cf. *infra* 45), pero la llegada de Novato a Roma cambió sus propósitos.

[330] El tono sarcástico de estas expresiones no impide reconocer una velada alusión a los tratados doctrinales de Novaciano.

[331] Posiblemente se exigía ya un número mínimo de tres obispos para la consagración episcopal, regla que sancionará el concilio de Nicea, canon 4; pero aquí Cornelio parece querer destacar este exiguo número para que se pueda comparar con el de obispos asistentes a su propia consagración y las circunstancias totalmente «canónicas» que la rodearon, como vemos en SAN CIPRIANO, *Epist.* 55,8-9.24.

cir, demasiado simples para las maquinaciones y falta de escrúpulo de estos malvados—, fueron encerrados por unos cuantos hombres semejantes a él y por él trastornados. A la hora décima, cuando se hallaban ebrios y cargados por el vino, les obligó por la fuerza a que, mediante una imposición de manos simulada y vana, le confiriesen el episcopado, el mismo que ahora reivindica con fraude y malicia, pues no le corresponde.

10 »No mucho después, uno de ellos volvió a la Iglesia, lamentándose y confesando su pecado, y nosotros le admitimos a la comunión como laico, pues todo el pueblo allí presente intercedía por él. En cuanto a los otros obispos, ordenamos sucesores suyos y los enviamos a los lugares donde ellos estaban [332].

11 »Así, pues, este vindicador del Evangelio [333] no sabía que tiene que haber un solo obispo en una iglesia católica [334] en que no ignora— ¿y cómo podría?—que hay cuarenta y seis presbíteros, siete diáconos, siete subdiáconos, cuarenta y dos acólitos, cincuenta y dos entre exorcistas, lectores y ostiarios, así como más de mil quinientas viudas y menesterosos, a todos los cuales alimenta la gracia y el amor del Señor a los hombres [335].

12 »Una muchedumbre tan grande y tan necesaria en la Iglesia, y un número tan rico y en continuo aumento por la providencia divina, con un pueblo inmenso e innumerable, no logró apartarlo de tamaña desesperación y derrumbamiento y tornarlo a la Iglesia».

ρους περὶ τὰς τῶν πονηρῶν μηχανάς τε καὶ ῥᾳδιουργίας, συγκλεισθέντας ὑπό τινων ὁμοίων αὐτῷ τεταραγμένων ἀνθρώπων, ὥρᾳ δεκάτῃ, μεθύοντας καὶ κραιπαλῶντας, μετὰ βίας ἠνάγκασεν εἰκονικῇ τινι καὶ ματαίᾳ χειρεπιθεσίᾳ ἐπισκοπὴν αὐτῷ δοῦναι, ἣν ἐνέδρᾳ καὶ πανουργίᾳ, μὴ ἐπιβάλλουσαν αὐτῷ, ἐκδικεῖ·

10 »ἐξ ὧν εἷς μετ' οὐ πολὺ ἐπανῆλθεν εἰς τὴν ἐκκλησίαν, ἀποδυρόμενος καὶ ἐξομολογούμενος τὸ ἑαυτοῦ ἁμάρτημα, ᾧ καὶ ἐκοινωνήσαμεν λαϊκῷ, ὑπὲρ αὐτοῦ δεηθέντος παντὸς τοῦ παρόντος λαοῦ· καὶ τῶν λοιπῶν δὲ ἐπισκόπων διαδόχους εἰς τοὺς τόπους, ἐν οἷς ἦσαν, χειροτονήσαντες ἀπεστάλκαμεν.

11 »ὁ ἐκδικητὴς οὖν τοῦ εὐαγγελίου οὐκ ἠπίστατο ἕνα ἐπίσκοπον δεῖν εἶναι ἐν καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ οὐκ ἠγνόει, πῶς γάρ; πρεσβυτέρους εἶναι τεσσαράκοντα ἕξ, διακόνους ἑπτά, ὑποδιακόνους ἑπτά, ἀκολούθους δύο καὶ τεσσαράκοντα, ἐξορκιστὰς δὲ καὶ ἀναγνώστας ἅμα πυλωροῖς δύο καὶ πεντήκοντα, χήρας σὺν θλιβομένοις ὑπὲρ τὰς χιλίας πεντακοσίας, οὓς πάντας ἡ τοῦ δεσπότου χάρις καὶ φιλανθρωπία διατρέφει·

12 »ὃν οὐδὲ τοσοῦτο πλῆθος καὶ οὕτως ἀναγκαῖον ἐν τῇ ἐκκλησίᾳ, διὰ τῆς τοῦ θεοῦ προνοίας πλούσιός τε καὶ πληθύων ἀριθμὸς μετὰ μεγίστου καὶ ἀναριθμήτου λαοῦ, ἀπὸ τῆς τοιαύτης ἀπογνώσεώς τε καὶ ἀπαγορεύσεως ἐνέτρεψέν τε καὶ ἀνεκαλέσατο εἰς τὴν ἐκκλησίαν».

[332] ¿Era uno de ellos el Evaristo de la carta del mismo Cornelio a Cipriano (*Epist.* 50)?
[333] En contexto parecido, San Cipriano (*Epist.* 44,3) arguye partiendo de la consigna de los novacianos de proclamarse «adsertores Evangelii et Christi»; cf. *Epist.* 46,2.
[334] La fórmula de retractación reproducida por Cornelio en su carta a San Cipriano (*Epist.* 49,2,4) decía: «nec enim ignoramus... unum episcopum in catholica esse debere».
[335] Estas cifras pueden darnos idea de la extensión del cristianismo por estas fechas en Roma (Burnet, Gibbon, Benson y Harnack, por ejemplo, calculan unos 50.000, casi un 5 por 100 de la población urbana), así como del alto grado de organización alcanzado.

13 Y de nuevo, tras de algunas otras cosas, añade:

«Pues bien, digamos a renglón seguido con qué obras y con qué género de vida se atrevía a arrogarse el episcopado. ¿Acaso, al menos, porque desde un principio vivía habitualmente en la iglesia? ¿O porque libró por ella numerosos combates y, por causa de la religión, se vio envuelto en muchos y grandes peligros?

14 »No hubo tal. Al menos para él, el punto de partida de su creencia fue Satanás, que había venido a él y en él había morado bastante tiempo. Los exorcistas le auxiliaron cuando cayó en una grave enfermedad, y como pensaba que iba a morir pronto, en el mismo lecho en que yacía recibió el bautismo por infusión, si es que se puede decir que este tal lo recibió [336].

15 »Pero habiendo escapado a la enfermedad, no recibió ninguna de las otras cosas que hay que recibir después, según la regla de la Iglesia, ni siquiera el ser sellado por el obispo [337]. Y no habiendo recibido esto, ¿cómo iba a haber recibido el Espíritu Santo?»

16 Y tras breve espacio vuelve a decir:

«... él, que por cobardía y apego a la vida, en tiempo de la persecución negó que fuera presbítero. Efectivamente, los diáconos le pedían y exhortaban a que saliera de la casucha en que se había encerrado y socorriera a los hermanos en todo lo que es ley y según la posibilidad de un presbítero para socorrer a unos hermanos en peligro y necesitados de socorro; pero tan lejos estaba él de obedecer a las exhortaciones de los diáconos, que partió enfurecido y se

13 καὶ αὖθις μεθ' ἕτερα τούτοις προστίθησιν ταῦτα

«φέρε δή, ἑξῆς εἴπωμεν τίσιν ἔργοις ἢ τίσιν πολιτείαις τεθαρρηκὼς ἀντεποιήθη τῆς ἐπισκοπῆς. ἆρά γε διὰ τὸ ἐξ ἀρχῆς ἐν τῇ ἐκκλησίᾳ ἀνεστράφθαι καὶ πολλοὺς ἀγῶνας ὑπὲρ αὐτῆς ἠγωνίσθαι καὶ ἐν κινδύνοις πολλοῖς τε καὶ μεγάλοις ἕνεκα τῆς θεοσεβείας γεγονέναι; ἀλλ' οὐκ ἔστιν·

14 »ᾧ γε ἀφορμὴ τοῦ πιστεῦσαι γέγονεν ὁ σατανᾶς, φοιτήσας εἰς αὐτὸν καὶ οἰκήσας ἐν αὐτῷ χρόνον ἱκανόν· ὃς βοηθούμενος ὑπὸ τῶν ἐπορκιστῶν νόσῳ περιπεσὼν χαλεπῇ καὶ ἀποθανεῖσθαι ὅσον οὐδέπω νομιζόμενος, ἐν αὐτῇ τῇ κλίνῃ, οὗ ἔκειτο, περιχυθεὶς ἔλαβεν, εἴ γε χρὴ λέγειν τὸν τοιοῦτον εἰληφέναι.

15 »οὐ μὴν οὐδὲ τῶν λοιπῶν ἔτυχεν, διαφυγὼν τὴν νόσον, ὧν χρὴ μεταλαμβάνειν κατὰ τὸν τῆς ἐκκλησίας κανόνα, τοῦ τε σφραγισθῆναι ὑπὸ τοῦ ἐπισκόπου· τούτων δὲ μὴ τυχών, πῶς ἂν τοῦ ἁγίου πνεύματος ἔτυχεν;»

16 καὶ πάλιν μετὰ βραχέα φησίν

«ὁ διὰ δειλίαν καὶ φιλοζωΐαν ἐν τῷ καιρῷ τῆς διώξεως πρεσβύτερον εἶναι ἑαυτὸν ἀρνησάμενος. ἀξιούμενος γὰρ καὶ παρακαλούμενος ὑπὸ τῶν διακόνων, ἵν' ἐξελθὼν τοῦ οἰκίσκου, ἐν ᾧ καθεῖρξεν ἑαυτόν, βοηθήσῃ τοῖς ἀδελφοῖς ὅσα θέμις καὶ ὅσα δυνατὸν πρεσβυτέρῳ κινδυνεύουσιν ἀδελφοῖς καὶ ἐπικουρίας δεομένοις βοηθεῖν, τοσοῦτον ἀπέσχεν τοῦ πειθαρχῆσαι παρακαλοῦσι τοῖς διακόνοις, ὡς καὶ χαλεπαίνοντα ἀπιέναι καὶ ἀπαλλάττεσθαι· μὴ γὰρ ἔτι βούλεσθαι πρεσβύτε-

[336] En este párrafo, Cornelio viene a decir que Novaciano provenía del paganismo y que sólo ante la enfermedad se había decidido a pedir el bautismo, hecho que, como se dirá en el párrafo 17, se aducirá como impedimento para su ordenación.

[337] Novaciano, libre ya de la enfermedad, no se había sometido a las ceremonias canónicas que completaban el rito del bautismo clínico, ni siquiera al requisito indispensable del «sellado» o confirmación por el obispo.

alejó, porque decía que no quería ser ya presbítero por estar enamorado de otra filosofía»[338].

17 Saltándose algunas cosas, añade a lo dicho lo siguiente:

«... tras abandonar, efectivamente, este ilustre personaje la Iglesia de Dios, en la que había obtenido la fe y en la que había sido considerado digno del presbiterado, por gracia del obispo que le impuso su mano para el orden del presbiterado, pues, aunque todo el clero trataba de impedirlo, e incluso numerosos laicos, por no estar permitido a quien había recibido—como éste—el bautismo por infusión en el lecho, a causa de una enfermedad[339], ser incorporado al clero, dicho obispo pidió que se le permitiera ordenar a éste solamente»[340].

18 Todavía añade algo a lo dicho, el mayor de los absurdos de este hombre, en los términos siguientes:

«Efectivamente, realizada la ofrenda, al distribuir a cada uno su parte y entregársela, obliga a las pobres gentes a jurar, en vez de bendecir. Con ambas manos agarra las del que va a recibir (la comunión) y no las suelta hasta que haya jurado profiriendo estas palabras (porque usaré sus propias palabras): 'Júrame por la sangre y el cuerpo de nuestro Señor Jesucristo no abandonarme jamás para volverte a Cornelio'[341].

19 »Y el pobre desgraciado no gusta (la comunión) si antes,

ρος εἶναι ἔφη, ἑτέρας γὰρ εἶναι φιλοσοφίας ἐραστής».

17 ὑπερβὰς δ' ὀλίγα, τούτοις πάλιν ἐπιφέρει λέγων

«καταλιπὼν γὰρ ὁ λαμπρὸς οὗτος τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἐν ᾗ πιστεύσας κατηξιώθη τοῦ πρεσβυτερίου κατὰ χάριν τοῦ ἐπισκόπου τοῦ ἐπιθέντος αὐτῷ χεῖρα εἰς πρεσβυτερίου κλῆρον, ὃς διακωλυόμενος ὑπὸ παντὸς τοῦ κλήρου, ἀλλὰ καὶ λαϊκῶν πολλῶν, ἐπεὶ μὴ ἐξὸν ἦν τὸν ἐν κλίνῃ διὰ νόσον περιχυθέντα, ὥσπερ καὶ οὗτος, εἰς κλῆρόν τινα γενέσθαι, ἠξίωσεν συγχωρηθῆναι αὐτῷ τοῦτον μόνον χειροτονῆσαι».

18 εἶτ' ἄλλο τι τούτοις χείριστον προστίθησιν τῶν τοῦ ἀνδρὸς ἀτοπημάτων, λέγων οὕτως

«ποιήσας γὰρ τὰς προσφορὰς καὶ διανέμων ἑκάστῳ τὸ μέρος καὶ ἐπιδιδοὺς τοῦτο, ὀμνύειν ἀντὶ τοῦ εὐλογεῖν τοὺς ταλαιπώρους ἀνθρώπους ἀναγκάζει, κατέχων ἀμφοτέραις ταῖς χερσὶ τὰς τοῦ λαβόντος καὶ μὴ ἀφιείς, ἔστ' ἂν ὀμνύοντες εἴπωσιν ταῦτα (τοῖς γὰρ ἐκείνου χρήσομαι λόγοις)· ‹ὄμοσόν μοι κατὰ τοῦ αἵματος καὶ τοῦ σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μηδέποτέ με καταλιπεῖν καὶ ἐπιστρέψαι πρὸς Κορνήλιον›.

19 »καὶ ὁ ἄθλιος ἄνθρωπος οὐ πρότερον γεύεται, εἰ μὴ πρότερον αὐτῷ καταράσαιτο, καὶ ἀντὶ τοῦ εἰπεῖν λαμβά-

[338] Esta actitud de Novaciano no parece avenirse bien con la acusación expuesta *supra* (§ 5 y 7) de que deseaba el episcopado; por otra parte, sus cartas, conservadas entre las de San Cipriano (la 30 y la 36), revelan una estima muy diferente del sacerdocio. Posiblemente Cornelio tergiversa el deseo de Novaciano de volver a su «filosofía» (cf. SAN CIPRIANO, *Epist.* 55,24), es decir, a su vida de estudio; pero difícilmente se puede pensar en un conato de vuelta a la «filosofía pagana», es decir, de apostasía.

[339] Cf. *supra* § 14.

[340] El obispo en cuestión fue San Fabián. Si Cornelio no lo nombra, puede ser por no manchar la memoria del mártir con el «error» de esa ordenación, o también por no dar lugar a que el prestigio del mártir pesase a favor de Novaciano.

[341] Es difícil comprender cómo podía desarrollarse esta escena—si no es toda ella pura invención—, ya que no sabemos cómo se distribuía la comunión ni qué fórmulas se utilizaban.

previamente, no hace imprecaciones contra sí mismo, y en vez de pronunciar 'Amén', al tomar aquel pan, dice: 'No volveré a Cornelio'».

20 Y después de otras cosas torna a decir:

«Pero debes saber que ahora se encuentra desnudo y se ha quedado aislado, pues cada día le van abandonando los hermanos y retornando a la Iglesia. Y el mismo Moisés [342], el que recientemente dio entre nosotros un hermoso y admirable testimonio, hallándose todavía en el mundo, como viera la osadía y la locura de aquél, lo excomulgó junto con los cinco presbíteros que con él se habían separado de la Iglesia».

21 Y hacia el final de la carta enumera los obispos presentes en Roma y que habían condenado la insensatez de Novato, indicando a la vez sus nombres y el de la iglesia que cada uno gobernaba;

22 y de los que no estaban presentes en Roma, pero que por carta dieron su asentimiento al voto de los susodichos, menciona los nombres y el lugar de donde procedía cada uno de los que escribían. Esto es lo que Cornelio informaba por carta a Fabio, obispo de Antioquía.

44

[Relato de Dionisio acerca de Serapión]

1 Y con este mismo Fabio, que se inclinaba un poco al cisma, mantuvo también correspondencia epistolar Dionisio, el de Alejandría. Después de explicar muchos y diversos puntos, entre ellos

νοντα τὸν ἄρτον ἐκεῖνον τὸ ἀμὴν, ‹οὐκ ἐπανήξω πρὸς Κορνήλιον› λέγει».

20 καὶ μεθ' ἕτερα πάλιν ταῦτά φησιν «ἤδη δὲ ἴσθι γεγυμνῶσθαι καὶ ἔρημον γεγονέναι, καταλιμπανόντων αὐτόν καθ' ἡμέραν ἑκάστην τῶν ἀδελφῶν καὶ εἰς τὴν ἐκκλησίαν ἐπανερχομένων· ὃν καὶ Μωσῆς, ὁ μακάριος μάρτυς, ὁ παρ' ἡμῖν ἔναγχος μαρτυρήσας καλήν τινα καὶ θαυμαστὴν μαρτυρίαν, ἔτι ὢν ἐν κόσμῳ, κατιδὼν αὐτοῦ τὴν θρασύτητα καὶ τὴν ἀπόνοιαν, ἀκοινώνητον ἐποίησεν σὺν τοῖς πέντε πρεσβυτέροις τοῖς ἅμα αὐτῷ ἀποσχίσασιν ἑαυτοὺς τῆς ἐκκλησίας».

21 καὶ ἐπὶ τέλει δὲ τῆς ἐπιστολῆς τῶν ἐπὶ τῆς 'Ρώμης παραγενομένων ἐπισκόπων τῆς τε τοῦ Νοουάτου κατεγνωκότων ἀβελτηρίας κατάλογον πεποίηται, ὁμοῦ τά τε ὀνόματα καὶ ἧς ὁ καθεῖς αὐτῶν προηγεῖτο παροικίας, ἐπισημαινόμενος,

22 τῶν τε μὴ παραγενομένων μὲν ἐπὶ τῆς 'Ρώμης, συνευδοκησάντων δὲ διὰ γραμμάτων τῇ τῶν προειρημένων ψήφῳ τάς προσηγορίας ὁμοῦ καὶ τὰς πόλεις, ὅθεν ἕκαστος ὁρμώμενος ἐπέστελλεν, μνημονεύει. ταῦτα μέν ὁ Κορνήλιος Φαβίῳ 'Αντιοχείας ἐπισκόπῳ δηλῶν ἔγραφεν·

ΜΔ'

1 τῷ δ' αὐτῷ τούτῳ Φαβίῳ, ὑποκατακλινομένῳ πως τῷ σχίσματι, καὶ Διο-

[342] Cf. San Cipriano, *Epist.* 28; 31; 32.

el de la penitencia [343], en las cartas que le dirigió, al referir detalladamente los combates de los que por entonces acababan de padecer martirio en Antioquía, en el curso del relato narra también un hecho, admirable por demás, que será necesario transmitir en esta obra y que dice así:

2 «Pero voy a exponerte este solo ejemplo, ocurrido entre nosotros. Había entre nosotros un tal Serapión, anciano ya y creyente. Durante mucho tiempo había vivido irreprochablemente, pero luego, en la prueba, cayó. El había pedido muchas veces (el perdón), mas nadie le hacía caso, porque incluso había sacrificado [344]. Habiendo enfermado, pasó tres días seguidos sin poder hablar e inconsciente.

3 »Cuando al cuarto se recuperó un poco, llamó a su nieto y dijo: '¿Hasta cuándo, hijo, me retenéis? Daos prisa, os lo ruego, y soltadme [345] en seguida. Llámame a alguno de los presbíteros'. Y dicho esto, de nuevo se quedó sin voz.

4 »Corrió el niño a casa del presbítero, mas era de noche y éste se hallaba enfermo; ir no podía, pero como yo había mandado que a los que iban a partir de esta vida, si pedían perdón, y con mayor razón si ocurría que ya anteriormente lo habían suplicado, se les concediera, para que partieran con buena esperanza [346], dio al niño una porción de la Eucaristía, y le mandó que la echase en un líquido y la hiciera caer a gotas en la boca del anciano.

5 »Regresó el niño con ella y, cuando ya se acercaba, antes que

νύσιος ὁ κατ' Ἀλεξάνδρειαν ἐπιστείλας πολλά τε καὶ ἄλλα περὶ μετανοίας ἐν τοῖς πρὸς αὐτὸν γράμμασιν διελθὼν τῶν τε κατ' Ἀλεξάνδρειαν ἔναγχος τότε μαρτυρησάντων τοὺς ἀγῶνας διιών, μετὰ τῆς ἄλλης ἱστορίας πρᾶγμά τι μεστὸν θαύματος διηγεῖται, ὃ καὶ αὐτὸ ἀναγκαῖον τῇδε παραδοῦναι τῇ γραφῇ, οὕτως ἔχον

2 «ἓν δέ σοι τοῦτο παράδειγμα παρ' ἡμῖν συμβεβηκὸς ἐκθήσομαι. Σεραπίων τις ἦν παρ' ἡμῖν, πιστὸς γέρων, ἀμέμπτως μὲν τὸν πολὺν διαβιώσας χρόνον, ἐν δὲ τῷ πειρασμῷ πεσών. οὗτος πολλάκις ἐδεῖτο, καὶ οὐδεὶς προσεῖχεν αὐτῷ· καὶ γὰρ ἐτεθύκει. ἐν νόσῳ δὲ γενόμενος, τριῶν ἑξῆς ἡμερῶν ἄφωνος καὶ ἀναίσθητος διετέλεσεν,

3 »βραχὺ δὲ ἀνασφήλας τῇ τετάρτῃ προσεκαλέσατο τὸν θυγατριδοῦν, καὶ ‹μέχρι με τίνος› φησίν ‹ὦ τέκνον, κατέχετε; δέομαι, σπεύσατε, καὶ με θᾶττον ἀπολύσατε, τῶν πρεσβυτέρων μοί τινα κάλεσον.› καὶ ταῦτα εἰπών, πάλιν ἦν ἄφωνος.

4 »ἔδραμεν ὁ παῖς ἐπὶ τὸν πρερβύτερον· νὺξ δέ ἦν, κἀκεῖνος ἠσθένει. ἀφικέσθαι μὲν οὐκ ἐδυνήθη, ἐντολῆς δὲ ὑπ' ἐμοῦ δεδομένης τοὺς ἀπαλλαττομένους τοῦ βίου, εἰ δέοιντο, καὶ μάλιστα εἰ καὶ πρότερον ἱκετεύσαντες τύχοιεν, ἀφίεσθαι, ἵν' εὐέλπιδες ἀπαλλάττωνται, βραχὺ τῆς εὐχαριστίας ἔδωκεν τῷ παιδαρίῳ, ἀποβρέξαι κελεύσας καὶ τῷ πρεσβύτῃ κατὰ τοῦ στόματος ἐπιστάξαι.

5 »ἐπανῆκεν ὁ παῖς φέρων, ἐγγύς τε

343 Entre ellos, sin duda, el trato que se debía dar a los «lapsi», trato más bien de comprensión y perdón, como ilustra el ejemplo que aduce.

344 Entre los «lapsi», los más culpables eran los que habían sacrificado; cf. *infra* 46,1.

345 Nótese la terminología κατέχετε-ἀπολύσατε, de clara significación técnica penitencial.

346 Cf. disposiciones parecidas en San Cipriano, *Epist.* 18,2; 19,2; 20,3; 30,8; 55,5.

entrase, de nuevo Serapión volvió en sí y dijo: '¿Has llegado ya, hijo? El presbítero no pudo venir, pero tú haz rápido lo que se te ordenó y déjame partir'. El niño puso en un líquido (la porción de Eucaristía) [347], y a tiempo que la vertía en la boca del anciano, éste tragó un poquito e inmediatamente entregó su espíritu.

6 »Ahora bien, ¿no está claro que fue preservado y se mantuvo hasta que fuera absuelto y, borrado el pecado, pudiera ser reconocido por las muchas obras buenas que había hecho?» [348] Esto dice Dionisio.

45

[Carta de Dionisio a Novato]

Mas veamos qué escribió también el mismo [349] a Novato, que por entonces andaba perturbando la comunidad de los hermanos de Roma. Como quiera, pues, que éste andaba haciendo de algunos hermanos pretexto de su apostasía y de su cisma, como si efectivamente ellos le hubieran forzado a llegar a esta situación, mira de qué modo le escribe:

«Dionisio a Novaciano [350], su hermano, salud: Si, como dices, fuiste llevado contra tu voluntad, lo habrás de probar regresando voluntariamente, porque había que sufrir lo que fuera con tal de no partir en dos la Iglesia de Dios. El testimonio dado por evitar

γενομένου, πρὶν εἰσελθεῖν, ἀνενέγκας πάλιν ὁ Σεραπίων «ἧκες» ἔφη «τέκνον; καὶ ὁ μὲν πρεσβύτερος ἐλθεῖν οὐκ ἠδυνήθη, σὺ δὲ ποίησον ταχέως τὸ προσταχθὲν καὶ ἀπάλλαττέ με». ἀπέβρεξεν ὁ παῖς καὶ ἅμα τε ἐνέχεεν τῷ στόματι καὶ μικρὸν ἐκεῖνος καταβροχθίσας εὐθέως ἀπέδωκεν τὸ πνεῦμα.

6 »ἆρ' οὐκ ἐναργῶς διετηρήθη καὶ παρέμεινεν, ἕως λυθῇ καὶ τῆς ἁμαρτίας ἐξαλειφθείσης ἐπὶ πολλοῖς οἷς ἔπραξεν καλοῖς ὁμολογηθῆναι δυνηθῇ;»

ταῦτα ὁ Διονύσιος.

ΜΕ'

Ἴδωμεν δ' ὁ αὐτὸς ὁποῖα καὶ τῷ Νοουάτῳ διεχάραξεν, ταράττοντι τηνικάδε τὴν Ῥωμαίων ἀδελφότητα· ἐπειδὴ οὖν τῆς ἀποστασίας καὶ τοῦ σχίσματος πρόφασιν ἐποιεῖτο τῶν ἀδελφῶν τινας, ὡς δὴ πρὸς αὐτῶν ἐπὶ τοῦτ' ἐλθεῖν ἐκβεβιασμένος, ὅρα τίνα τρόπον αὐτῷ γράφει·

«Διονύσιος Νοουατιανῷ ἀδελφῷ χαίρειν. εἰ ἄκων, ὡς φῄς, ἤχθης, δείξεις ἀναχωρήσας ἑκών. ἔδει μὲν γὰρ καὶ πᾶν ὅτι οὖν παθεῖν ὑπὲρ τοῦ μὴ διακόψαι

[347] Estamos ante un caso bien claro de comunión bajo la sola especie de pan; por razones obvias, el niño la remoja seguramente en agua.

[348] Cf. Mt 10,32; Lc 12,8; Ap 3,5. La apostasía de Serapión debió de ocurrir en la persecución de Decio, y el hecho aquí relatado, entre 251-252, si hemos de seguir la datación de las cartas, según el cálculo de M. Sordi (o.c., p.123). Para G. del Ton *(L'episodio eucaristico di Serapione narrato da Dionigi Alessandrino:* La Scuola Cattolica 70 [1942] 40), la dataría de poco antes de 253.

[349] Dionisio.

[350] Aunque hay Mss que leen Novato (ATM), aquí parece que se impone la lectura de BD y de la versión L. Dionisio estaba en mejores condiciones que Eusebio para conocer el verdadero nombre de Novaciano; cf. *infra.* VII 8.

el cisma no era menos glorioso que el que se da por no adorar a los ídolos [351]; para mí, incluso, era mayor, porque en éste uno da testimonio por la propia alma sola, mientras que en el otro se da por toda la Iglesia. Pero aun ahora, si logras persuadir o forzar a tus hermanos a volver a la concordia, tu enmienda será más grande que tu caída. Esta no se te tendrá en cuenta, mientras que lo otro se te alabará. Y si no puedes, porque no te obedecen, salva siquiera tu propia alma. Ruego que tengas salud, asido a la paz en el Señor».

46

[De las otras cartas de Dionisio]

1 Esto escribe también a Novato. Pero, además [352], escribe a los de Egipto una carta *Sobre la penitencia*, en la cual expone sus opiniones acerca de los caídos distinguiendo grados de faltas [353].

2 También se conserva una carta suya privada *Sobre la penitencia* [354], dirigida a Colón (éste era obispo de la iglesia de Hermúpolis), y otra de reprensión dirigida a su grey de Alejandría. Entre éstas se halla también la que escribió a Orígenes *Sobre el martirio* [355]. También a los hermanos de Laodicea [356], a quienes presidía

τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἣν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν τοῦ μὴ εἰδωλολατρῆσαι γινομένης ἡ ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία. κατ' ἐμὲ δὲ καὶ μείζων. ἐκεῖ μὲν γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς ἐκκλησίας μαρτυρεῖ. καὶ νῦν δὲ εἰ πείσαις ἢ βιάσαιο τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν ἐλθεῖν, μεῖζον ἔσται σοι τοῦ σφάλματος τὸ κατόρθωμα, καὶ τὸ μὲν οὐ λογισθήσεται, τὸ δὲ ἐπαινεθήσεται. εἰ δὲ ἀπειθούντων ἀδυνατοίης, σῴζων σῷζε τὴν σεαυτοῦ ψυχήν. ἐρρῶσθαί σε, ἐχόμενον τῆς εἰρήνης ἐν κυρίῳ, εὔχομαι».

ΜϚ'

1 Ταῦτα καὶ πρὸς τὸν Νοουάτον· γράφει δὲ καὶ τοῖς κατ' Αἴγυπτον ἐπιστολὴν περὶ μετανοίας, ἐν ᾗ τὰ δόξαντα αὐτῷ περὶ τῶν ὑποπεπτωκότων παρατέθειται, τάξεις παραπτωμάτων διαγράψας.

2 καὶ πρὸς Κόλωνα (τῆς Ἑρμουπολιτῶν δὲ παροικίας ἐπίσκοπος ἦν οὗτος) ἰδία τις περὶ μετανοίας αὐτοῦ φέρεται γραφὴ καὶ ἄλλη ἐπιστρεπτικὴ πρὸς τὸ κατ' Ἀλεξάνδρειαν αὐτοῦ ποίμνιον. ἐν τούτοις ἐστὶν καὶ ἡ περὶ μαρτυρίου πρὸς τὸν Ὠριγένην γραφεῖσα· καὶ τοῖς κατὰ Λαοδίκειαν ἀδελφοῖς, ὧν προΐστατο Θηλυμίδρης ἐπίσκοπος, καὶ τοῖς κατὰ Ἀρ-

[351] Aparte del tono general de la carta, mucho más suave y fraternal que la de Cornelio, Dionisio parece dar a entender con esta frase que Novaciano había «dado testimonio»; la argumentación coincide con la de San Cipriano *(Epist.* 54,1).

[352] En este capítulo, Eusebio nos da una lista de las cartas de Dionisio que él encontró, junto con las ya mencionadas, seguramente en el mismo volumen o legajo.

[353] En San Cipriano encontramos también grados, v.g., *libellatici* y *sacrificati (Epist.* 55,13ss).

[354] El único fragmento conservado, véase en C. L. Feltoe, o.c., p.59-62.

[355] Cf. C. L. Feltoe, o.c., p.299.

[356] Laodicea de Siria, al sur de Antioquía.

el obispo Telimidro, y a los de Armenia [357], cuyo obispo era Meruzanes: les escribe *Sobre la penitencia.*

3 Y además de a todos éstos, escribe también a Cornelio [358], el de Roma, después de recibir su carta contra Novato. Le indica claramente que él ha sido invitado por Heleno [359], obispo de Tarso de Cilicia, y por los otros obispos que le acompañan: Firmiliano [360], el de Capadocia, y Teoctisto [361], el de Palestina, para asistir al concilio de Antioquía [362], donde algunos intentaban consolidar el cisma de Novato.

4 Además de esto escribe que se le ha anunciado que Fabio había muerto y que habían establecido a Demetriano como sucesor suyo en el obispado de Antioquía [363]. Escribe también sobre el obispo de Jerusalén, hablando en estos términos:

«Porque Alejandro, aquel hombre admirable, estando en la cárcel, tuvo una muerte feliz» [364].

5 A continuación de ésta se conserva también de Dionisio otra *Carta diaconal* [365] *por medio de Hipólito,* dirigida a los de Roma, a los que escribe además otra *Sobre la paz,* e igualmente *Sobre la penitencia,* así como también otra más *A los confesores* de allí que todavía estaban comprometidos con la opinión de Novato. A estos mismos, después que volvieron a la Iglesia, les escribió otras dos

μενίαν ὡσαύτως περὶ μετανοίας ἐπιστέλλει, ὧν ἐπεσκόπευεν Μερουζάνης.

3 πρὸς ἅπασι τούτοις καὶ Κορνηλίῳ τῷ κατὰ Ῥώμην γράφει, δεξάμενος αὐτοῦ τὴν κατὰ τοῦ Νοουάτου ἐπιστολήν, ᾧ καὶ σημαίνει δηλῶν ἑαυτὸν παρακεκλῆσθαι ὑπό τε Ἑλένου τοῦ ἐν Ταρσῷ τῆς Κιλικίας ἐπισκόπου καὶ τῶν λοιπῶν τῶν σὺν αὐτῷ Φιρμιλιανοῦ τε τοῦ ἐν Καππαδοκίᾳ καὶ τοῦ κατά Παλαιστίνην Θεοκτίστου, ὡς ἂν ἐπὶ τὴν σύνοδον ἀπαντήσοι τὴν κατὰ Ἀντιόχειαν, ἔνθα τοῦ Νοουάτου κρατύνειν τινὲς ἐνεχείρουν τὸ σχίσμα.

4 πρὸς τούτοις ἐπιστέλλει μηνυθῆναι αὐτῷ Φάβιον μὲν κεκοιμῆσθαι, Δημητριανὸν δὲ διάδοχον ἐκείνου τῆς κατ' Ἀντιόχειαν ἐπισκοπῆς καθεστάναι· γράφει δὲ καὶ περὶ τοῦ ἐν Ἱεροσολύμοις αὐτοῖς ῥήμασιν φάσκων

«ὁ μὲν γὰρ θαυμάσιος Ἀλέξανδρος ἐν φρουρᾷ γενόμενος, μακαρίως ἀνεπαύσατο.»

5 ἑξῆς ταύτῃ καὶ ἑτέρα τις ἐπιστολὴ τοῖς ἐν Ῥώμῃ τοῦ Διονυσίου φέρεται διακονικὴ διὰ Ἱππολύτου· τοῖς αὐτοῖς δὲ ἄλλην περὶ εἰρήνης διατυποῦται, καὶ ὡσαύτως περὶ μετανοίας, καὶ αὖ πάλιν ἄλλην τοῖς ἐκεῖσε ὁμολογηταῖς, ἔτι τῇ τοῦ Νοουάτου συμφερομένοις γνώμῃ· τοῖς δὲ

[357] Es la primera vez que se habla del cristianismo en Armenia; cf. M. VAN ESBROECK, *Nouveaux fragments arméniens de Denys d'Alexandrie:* Orientalia Christiana Periodica 50 (1984) 18-42.

[358] Cf. C. L. FELTOE, o.c., p.39.

[359] Cf. *infra* VII 30,2.

[360] Cf. *infra* VII 28,1.

[361] Cf. *supra* 19,17-18; 27; *infra* VII 5,1.

6 »Pero escuchad lo que uno y otro dijeron, tal como fue registrado[86]. 'Introducidos Dionisio, Fausto, Máximo, Marcelo y Queremón[87], Emiliano, que ejerce de gobernador, dijo: ... y verbalmente[88] conversé con vosotros acerca de la humanidad que nuestros señores emplean con vosotros.

7 »Efectivamente, os han dado el poder salvaros, con tal de que queráis volver a lo que es conforme a la naturaleza, adorar a los dioses salvadores de su imperio y olvidaros de lo que va contra

μου Μάξιμος καὶ διάκονοι Φαῦστος Εὐσέβιος Χαιρήμων, καί τις τῶν ἀπὸ Ῥώμης παρόντων ἀδελφῶν ἡμῖν συνεισῆλθεν.

4 »Αἰμιλιανὸς δὲ οὐκ εἶπέν μοι προηγουμένως ‹μὴ σύναγε›. περιττὸν γὰρ τοῦτο ἦν αὐτῷ καὶ τὸ τελευταῖον, ἐπὶ τὸ πρῶτον ἀνατρέχοντι· οὐ γὰρ περὶ τοῦ μὴ συνάγειν ἑτέρους ὁ λόγος ἦν αὐτῷ, ἀλλὰ περὶ τοῦ μηδ' αὐτοὺς ἡμᾶς εἶναι Χριστιανούς, καὶ τούτου προσέταττεν πεπαῦσθαι, εἰ μεταβαλοίμην ἐγώ, καὶ τοὺς ἄλλους ἕψεσθαί μοι νομίζων.

5 »ἀπεκρινάμην δὲ οὐκ ἀπεοικότως οὐδὲ μακρὰν τοῦ ‹πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις›, ἀλλ' ἄντικρυς διεμαρτυράμην ὅτι τὸν θεὸν τὸν ὄντα μόνον καὶ οὐδένα ἕτερον σέβω οὐδ' ἂν μεταθείμην οὐδὲ παυσαίμην ποτὲ Χριστιανὸς ὤν. ἐπὶ τούτοις ἐκέλευσεν ἡμᾶς ἀπελθεῖν εἰς κώμην πλησίον τῆς ἐρήμου καλουμένην Κεφρώ.

6 »αὐτῶν δὲ ἐπακούσατε τῶν ὑπ' ἀμφοτέρων λεχθέντων ὡς ὑπεμνηματίσθη. εἰσαχθέντων Διονυσίου καὶ Φαύστου καὶ Μαξίμου καὶ Μαρκέλλου καὶ Χαιρήμονος Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν εἶπεν· ‹καὶ ἀγράφως ὑμῖν διελέχθην περὶ τῆς φιλανθρωπίας τῶν κυρίων ἡμῶν ἣ περὶ ὑμᾶς κέχρηνται·

7 »δεδώκασιν γὰρ ἐξουσίαν ὑμῖν σωτηρίας, εἰ βούλοισθε ἐπὶ τὸ κατὰ φύσιν τρέπεσθαι καὶ θεοὺς τοὺς σῴζοντας αὐτῶν τὴν βασιλείαν προσκυνεῖν, ἐπιλαθέσθαι δὲ τῶν παρὰ φύσιν. τί οὖν φατε πρὸς

[82] Cf. *infra* § 24.
[83] ¿Quizás el Marcelo del párrafo 6?
[84] Act 5,29.
[85] Pequeño lugar no localizado, pero bastante alejado de Alejandría; cf. *infra* § 10.12.15.17; HARNACK, *Mission* 2 p.715.
[86] Dionisio va a citar el texto del *Acta* oficial; cf. V. SAXER, *Les «Actes des martyrs anciens» chez Eusèbe de Césarée et dans les martyrologes syriaque et hiéronymien:* AB 102 (1984) 85-95.
[87] Sobre todos ellos, cf. *supra* § 3.
[88] Esto supone, seguramente, que en las líneas anteriores se hacía referencia a un contacto por escrito.

naturaleza. ¿Qué decís, pues, a esto? Porque yo espero de vosotros que no seréis unos ingratos para con esa su humanidad, puesto que os están exhortando a lo mejor'.

8 »Dionisio respondió [89]: 'No todos adoran a todos los dioses, sino que cada uno adora a los que creen que lo son, y así nosotros rendimos culto y adoramos al único Dios y creador de todas las cosas, el que puso también el imperio en manos de los augustos Valeriano y Galieno, amadísimos de Dios, y a él dirigimos continuamente nuestras súplicas por el imperio, con el fin de que permanezca inconmovible' [90].

9 »Emiliano, que ejerce de gobernador, dijo: 'Pues ¿quién os impide adorar también a éste, si es que es Dios, con los dioses que lo son por naturaleza? Porque se os manda dar culto a los dioses, y dioses que todo el mundo conoce'. Dionisio respondió: 'Nosotros no adoramos a ningún otro'.

10 »Emiliano, que ejerce de gobernador, dijo: 'Estoy viendo que vosotros sois no sólo ingratos, sino también insensibles a la mansedumbre de nuestros augustos; por lo cual no vais a quedaros en esta ciudad, sino que seréis deportados a las regiones de Libia, a un lugar llamado Cefró [91]; es el sitio que escogí, por mandato de nuestros augustos, y de ninguna manera os estará permitido, ni a vosotros ni a ningún otro, hacer reuniones o entrar en los llamados cementerios [92].

ταῦτα; οὐδὲ γὰρ ἀχαρίστους ὑμᾶς ἔσεσθαι περὶ τὴν φιλανθρωπίαν αὐτῶν προσδοκῶ, ἐπειδήπερ ἐπὶ τὰ βελτίω ὑμᾶς προτρέπονται›.

8 »Διονύσιος ἀπεκρίνατο· ‹οὐ πάντες πάντας προσκυνοῦσι θεούς, ἀλλ' ἕκαστοι τινάς, οὓς νομίζουσιν. ἡμεῖς τοίνυν τὸν ἕνα θεὸν καὶ δημιουργὸν τῶν ἁπάντων, τὸν καὶ τὴν βασιλείαν ἐγχειρίσαντα τοῖς θεοφιλεστάτοις Οὐαλεριανῷ καὶ Γαλλιήνῳ Σεβαστοῖς, τοῦτον καὶ σέβομεν καὶ προσκυνοῦμεν, καὶ τούτῳ διηνεκῶς ὑπὲρ τῆς βασιλείας αὐτῶν, ὅπως ἀσάλευτος διαμείνῃ, προσευχόμεθα›.

9 »Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν αὐτοῖς εἶπεν· ‹τίς γὰρ ὑμᾶς κωλύει καὶ τοῦτον, εἴπερ ἐστὶν θεός, μετὰ τῶν κατὰ φύσιν θεῶν προσκυνεῖν; θεοὺς γὰρ σέβειν ἐκελεύσθητε, καὶ θεοὺς οὓς πάντες ἴσασιν.› Διονύσιος ἀπεκρίνατο ‹ἡμεῖς οὐδένα ἕτερον προσκυνοῦμεν.›

10 »Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν αὐτοῖς εἶπεν· ‹ὁρῶ ὑμᾶς ὁμοῦ καὶ ἀχαρίστους ὄντας καὶ ἀναισθήτους τῆς πρᾳότητος τῶν Σεβαστῶν ἡμῶν· δι' ὅπερ οὐκ ἔσεσθε ἐν τῇ πόλει ταύτῃ, ἀλλὰ ἀποσταλήσεσθε εἰς τὰ μέρη τῆς Λιβύης καὶ ἐν τόπῳ λεγομένῳ Κεφρῷ· τοῦτον γὰρ τὸν τόπον ἐξελεξάμην ἐκ τῆς κελεύσεως τῶν Σεβαστῶν ἡμῶν. οὐδαμῶς δὲ ἐξέσται οὔτε ὑμῖν οὔτε ἄλλοις τισὶν ἢ συνόδους ποιεῖσθαι ἢ εἰς τὰ καλούμενα κοιμητήρια εἰσιέναι.

[89] El gobernador se ha dirigido a todos; ahora es Dionisio quien responde en nombre de todos.

[90] La oración de los cristianos por los emperadores, urgida ya por los apóstoles, se ha mantenido constante, y los mártires, lo mismo que los apologistas, hacen de ella argumento de fidelidad patria; cf. 1 Tim 2,1-2; 1 *Clementis* 61,1-2; SAN JUSTINO, *Apol.* I 17,3-4; TERTULIANO, *Apolog.* 30-32; ORÍGENES, *C. Celsum* 8,73-74; *Acta Cypriani* 1,2.

[91] Cf. *supra* § 5.

[92] Casi en los mismos términos se expresa el procónsul Paterno en el interrogatorio de San Cipriano; cf. *Acta Cypriani* 1,7.

11 »Ahora bien, si apareciese que alguno no se ha personado en el lugar que le mandé [93] o fuese hallado en reunión con alguien, sobre sí mismo tendrá suspendido el peligro, pues no ha de faltar la necesaria vigilancia. Retiraos, pues, a donde se os ha mandado' [94].

»Y, a pesar de que me hallaba enfermo, me obligó a salir apresuradamente, sin dar siquiera la demora de un día. ¿Qué tiempo tenía yo, pues, para convocar o no convocar una reunión?» [95]

12 Luego, después de otras cosas, dice:

«Sin embargo, con la ayuda de Dios, ni siquiera de la reunión visible nos abstuvimos, sino que, por una parte, ponía gran empeño en reunir a los de la ciudad como si yo estuviera con ellos: *Ausente con el cuerpo*—dice—*mas presente con el espíritu* [96]; y por otra parte, a Cefró vino a habitar con nosotros una iglesia numerosa, pues unos hermanos nos seguían de la ciudad y otros se nos juntaban desde Egipto.

13 »Y allí mismo Dios nos abrió una puerta a la palabra [97]. Al principio, es cierto, nos persiguieron y apedrearon, pero luego algunos paganos, bastantes, dejaron los ídolos y se convirtieron a Dios. Anteriormente nunca habían recibido la palabra, y sólo entonces se sembraba entre ellos por primera vez, gracias a nosotros.

14 »Es como si Dios nos hubiera conducido hasta ellos por esta causa, pues así que hubimos cumplido este ministerio [98], de nuevo nos alejó.

»Efectivamente, Emiliano quiso trasladarnos a lugares al pare-

11 »εἰ δέ τις φανείη ἢ μὴ γενόμενος εἰς τόν τόπον τοῦτον ὃν ἐκέλευσα, ἢ ἐν συναγωγῇ τινι εὑρεθείη, ἑαυτῷ τὸν κίνδυνον ἐπαρτήσει· οὐ γὰρ ἐπιλείψει ἡ δέουσα ἐπιστρέφεια. ἀπόστητε οὖν ὅπου ἐκελεύσθητε.›

καὶ νοσοῦντα δέ με κατήπειξεν, οὐδὲ μιᾶς ὑπέρθεσιν δοὺς ἡμέρας. ποίαν οὖν ἔτι τοῦ συνάγειν ἢ μὴ συνάγειν εἶχον σχολήν;»

εἶτα μεθ' ἕτερά φησιν

12 «ἀλλ' οὐδὲ τῆς αἰσθητῆς ἡμεῖς μετὰ τοῦ κυρίου συναγωγῆς ἀπέστημεν, ἀλλὰ τοὺς μὲν ἐν τῇ πόλει σπουδαιότερον συνεκρότουν ὡς συνών, ἀπὼν μὲν τῷ σώματι, ὡς εἶπεν, παρὼν δὲ τῷ πνεύματι, ἐν δὲ τῇ Κεφροῖ καὶ πολλὴ συνεπεδήμησεν ἡμῖν ἐκκλησία, τῶν μὲν ἀπὸ τῆς πόλεως ἀδελφῶν ἑπομένων, τῶν δὲ συνιόντων ἀπ' Αἰγύπτου. κἀκεῖ θύραν ἡμῖν ὁ θεὸς ἀνέῳξεν τοῦ λόγου.

13 »καὶ τὸ μὲν πρῶτον ἐδιώχθημεν, ἐλιθοβολήθημεν, ὕστερον δὲ τινες οὐκ ὀλίγοι τῶν ἐθνῶν τὰ εἴδωλα καταλιπόντες, ἐπέστρεψαν ἐπὶ τὸν θεόν· οὐ πρότερον δὲ παραδεξαμένοις αὐτοῖς τότε πρῶτον δι' ἡμῶν ὁ λόγος ἐπεσπάρη.

14 »καὶ ὥσπερ τούτου ἕνεκεν ἀπαγαγὼν ἡμᾶς πρὸς αὐτοὺς ὁ θεός, ἐπεὶ τὴν διακονίαν ταύτην ἐπληρώσαμεν, πάλιν ἀπαγήοχεν. ὁ γὰρ Αἰμιλιανὸς εἰς τραχυτέρους μέν, ὡς ἐδόκει, καὶ λιβυκωτέρους ἡμᾶς μεταστῆσαι τόπους ἐβουλήθη, καὶ τοὺς πανταχόσε εἰς τὸν Μαρεώτην ἐκέ-

[93] El deportado tenía que trasladarse por sus propios medios al lugar de la condena; la desobediencia se pagaba con la muerte.
[94] Aquí termina la copia del *Acta* oficial.
[95] Esta pregunta responde a la acusación de Germán.
[96] 1 Cor 5,3.
[97] Cf. Col 4,3.
[98] Cf. Act 12,25.

cer más ásperos y más líbicos [99] aún, y mandó que los de todas partes confluyeran en la Mareota, después de asignar a cada uno una aldea de la región. Pero a nosotros nos colocó más bien en el camino, para prendernos también los primeros. Porque era evidente que lo iba disponiendo y preparando de modo que, cuando quisieran prendernos a todos, nos pudieran tener bien a mano.

15 »Yo, por mi parte, cuando se me ordenó partir para Cefró, por más que ignoraba en qué dirección se hallaba este lugar, pues casi ni el nombre había oído anteriormente, sin embargo, incluso partía animoso y tranquilo. Pero cuando se me anunció que debía trasladarme a la región de Colución [100], los que se hallaban presentes saben cómo me afectó (pues aquí he de acusarme a mí mismo).

16 »Al pronto me molestó y lo llevé demasiado a mal, porque, aunque daba la casualidad de que esos lugares nos eran más conocidos y familiares, sin embargo, se afirmaba que la región carecía de cristianos y de hombres honrados, y que, en cambio, se hallaba expuesta a las molestias de los viandantes y a las incursiones de los salteadores.

17 »Logré, sin embargo, consolarme al recordarme los hermanos que se hallaba más cercana a la ciudad y que, si bien Cefró nos había aportado numerosas relaciones con los hermanos venidos de Egipto, hasta el punto de poder tener asambleas más amplias, allí, empero, con la ciudad más cerca, íbamos a gozar más frecuentemente de la vista de los que verdaderamente eran amadísimos y de la mayor intimidad y amistad, porque ellos vendrían y se hospedarían,

λευσεν συρρεῖν, κώμας ἑκάστοις τῶν κατὰ χώραν ἀφορίσας, ἡμᾶς δὲ μᾶλλον ἐν ὁδῷ καὶ πρώτους καταληφθησομένους ἔταξεν. ᾠκονόμει γὰρ δῆλον ὅτι καὶ παρεσκεύαζεν ἵνα ὁπόταν βουληθείη συλλαβεῖν, πάντας εὐαλώτους ἔχοι.

15 »ἐγὼ δὲ ὅτε μὲν εἰς Κεφρὼ κεκελεύσμην ἀπελθεῖν, καὶ τὸν τόπον ἠγνόουν ὅποι ποτὲ οὗτός ἐστιν, οὐδὲ τὸ ὄνομα σχεδὸν πρότερον ἀκηκοώς, καὶ ὅμως εὐθύμως καὶ ἀταράχως ἀπῄειν· ἐπεὶ δὲ μετασκηνώσειν εἰς τὰ Κολλουθίωνος ἀπηγγέλη μοι, ἴσασιν οἱ παρόντες ὅπως διετέθην (ἐνταῦθα γὰρ ἐμαυτοῦ κατηγορήσω),

16 »τὸ μὲν πρῶτον ἠχθέσθην καὶ λίαν ἐχαλέπηνα· καὶ γὰρ εἰ γνωριμώτεροι καὶ συνηθέστεροι ἐτύγχανον ἡμῖν οἱ τόποι, ἀλλ' ἔρημον μὲν ἀδελφῶν καὶ σπουδαίων ἀνθρώπων ἔφασκον εἶναι τὸ χωρίον, ταῖς δὲ τῶν ὁδοιπορούντων ἐνοχλήσεσιν καὶ λῃστῶν καταδρομαῖς ἐκκείμενον·

17 »ἔτυχον δὲ παραμυθίας, ὑπομνησάντων με τῶν ἀδελφῶν ὅτι γειτνιῴη μᾶλλον τῇ πόλει καὶ ἡ μὲν Κεφρὼ πολλὴν ἡμῖν ἦγεν ἀδελφῶν τῶν ἀπ' Αἰγύπτου τὴν ἐπιμιξίαν, ὡς πλατύτερον ἐκκλησιάζειν δύνασθαι, ἐκεῖ δέ, πλησιαίτερον οὔσης τῆς πόλεως, συνεχέστερον τῆς τῶν ὄντως ἀγαπητῶν καὶ οἰκειοτάτων καὶ φιλτάτων ὄψεως ἀπολαύσομεν· ἀφίξονται γὰρ καὶ

[99] Término difícil de entender; quizás pretenda resumir lo más incómodo que los antiguos encontraban en las tierras líbicas; o más bien quiera decir que la región así llamada, la Mareota, se hallaba más cerca todavía del terreno libio y, por ende, más lejos de Alejandría.

[100] Lugar de emplazamiento desconocido, aunque más cerca de Alejandría.

y como en los barrios bastante apartados, habría reuniones parciales [101], y así sucedió».

18 Y después de otras cosas todavía escribe lo siguiente acerca de lo que a él le sucedió:

«¡De muchas confesiones [102] se jacta Germán! Al menos puede decir que es mucho lo que hubo contra él, tanto cuanto puede enumerar de nosotros: sentencias, confiscaciones, proscripciones, despojo de los bienes [103], destitución de dignidades, indiferencia por la gloria mundana, desprecio de alabanzas de gobernantes y senadores, incluso de los contrarios, y el soportar amenazas, griteríos hostiles, peligros, persecuciones, vida errante, angustias y toda clase de tribulaciones [104], las mismas que me sucedieron bajo Decio y Sabino [105] y hasta ahora bajo Emiliano.

19 »Sin embargo, ¿dónde apareció Germán? ¿Qué documento hay sobre él? [106] Pero bueno, estoy cansado de esta gran locura en que voy cayendo [107] por culpa de Germán: y por lo mismo desisto también de dar a los hermanos, que ya lo saben, explicación detallada de los acontecimientos».

20 Y el mismo Dionisio, en la carta a Domecio y a Dídimo [108], vuelve a mencionar los sucesos de la persecución en estos términos:

«Pero es superfluo haceros lista nominal de los nuestros, que

ἀναπαύσονται καὶ ὡς ἐν προαστείοις πορρωτέρω κειμένοις κατὰ μέρος ἔσονται συναγωγαί. καὶ οὕτως ἐγένετο».

18 καὶ μεθ' ἕτερα περὶ τῶν συμβεβηκότων αὐτῷ αὖθις ταῦτα γράφει

«πολλαῖς γε ταῖς ὁμολογίαις Γερμανὸς σεμνύνεται, πολλά γε εἰπεῖν ἔχει καθ' ἑαυτοῦ γενόμενα· ὅσας ἀριθμῆσαι δύναται περὶ ἡμῶν ἀποφάσεις, δημεύσεις, προγραφάς, ὑπαρχόντων ἁρπαγάς, ἀξιωμάτων ἀποθέσεις, δόξης κοσμικῆς ὀλιγωρίας, ἐπαίνων ἡγεμονικῶν καὶ βουλευτικῶν καταφρονήσεις καὶ τῶν ἐναντίων, ἀπειλῶν καὶ καταβοήσεων καὶ κινδύνων καὶ διωγμῶν καὶ πλάνης καὶ στενοχωρίας καὶ ποικίλης θλίψεως ὑπομονήν, οἷα τὰ ἐπὶ Δεκίου καὶ Σαβίνου συμβάντα μοι, οἷα μέχρι νῦν Αἰμιλιανοῦ.

19 »ποῦ δὲ Γερμανὸς ἐφάνη; τίς δὲ περὶ αὐτοῦ λόγος; ἀλλὰ τῆς πολλῆς ἀφροσύνης, εἰς ἣν ἐμπίπτω διὰ Γερμανόν, ὑφίεμαι, δι' ὃ καὶ τὴν καθ' ἕκαστον τῶν γενομένων διήγησιν παρίημι τοῖς εἰδόσιν ἀδελφοῖς λέγειν».

20 ὁ δ' αὐτὸς καὶ ἐν τῇ πρὸς Δομέτιον καὶ Δίδυμον ἐπιστολῇ τῶν ἀμφὶ τὸν διωγμὸν αὖθις μνημονεύει ἐν τούτοις

«τοὺς δὲ ἡμετέρους, πολλούς τε ὄντας

101 Los que vivían en los suburbios o barrios apartados no acudían a la asamblea común en la ciudad, sino que se reunían para el culto por sectores. A Dionisio le proponen que haga algo parecido en la región de Colución: las «molestias de los viandantes» (§ 16) podrían convertirse en ocasiones de ejercicio de su ministerio; si entre aquellas «molestias» se incluía la tan temida *recipiendi hospitis necessitas*, la intención del consejo aparece clara: los viandantes serían cristianos más o menos camuflados.

102 Es decir, confesiones de fe ante las autoridades.

103 Cf. Heb 10,34.

104 Cf. Rom 8,35.

105 Cf. *supra* VI 40,2.

106 Alusión sin duda al *Acta* que antes ha copiado.

107 Cf. 2 Cor 11,17.

108 Eusebio piensa—a juzgar por el lugar donde la incluye—que ésta se refiere a la persecución de Valeriano; por las alusiones a personas, lugares y hechos, que ya hemos visto arriba, sobre todo en VI 40,4-9, lo que en ella se relata pertenece a la persecución de Decio; cf. C. L. FELTOE, o.c., p.64-66. Sobre su datación, cf. *infra* 20.

son muchos y no los conocéis; sabe, con todo, que hombres y mujeres, jóvenes y viejos, doncellas y ancianos, soldados y civiles, y todo sexo y toda edad [109], vencedores en la lucha, unos por azotes y fuego y otros por el hierro, todos recibieron sus coronas.

21 »A otros, en cambio, no les ha bastado un tiempo bastante largo para aparecer aceptables al Señor [110]. Tampoco a mí hasta el presente, por lo que se ve, por lo cual me ha reservado para el momento oportuno que bien conoce el mismo que dice: *En tiempo aceptable te escuché y en dia de salvación te socorri* [111].

22 »Puesto que preguntáis por nuestra situación y queréis que os informe de cómo vamos marchando, seguramente ya oísteis cómo nos conducían prisioneros un centurión y oficiales con los soldados y criados que iban con ellos, a mí y a Cayo, Fausto, Pedro y Pablo, y presentándose algunas gentes de Mareota, nos arrebataron, bien a pesar nuestro, arrastrándonos por la fuerza al negarnos a seguirlos [112].

23 »Y ahora yo, Cayo y Pedro, los tres solos [113], nos hallamos encerrados en un paraje desierto y árido de Libia, huérfanos de los demás hermanos, apartados de Paretonio tres días de camino».

24 Y algo más abajo sigue diciendo:

«Sin embargo, en la ciudad [114] se hallan escondidos y visitan en secreto a los hermanos, de una parte, los presbíteros Máximo, Dióscoro, Demetrio y Lucio—ya que los más conocidos en el mun-

καὶ ἀγνῶτας ὑμῖν, περισσὸν ὀνομαστὶ καταλέγειν, πλὴν ἴστε ὅτι ἄνδρες καὶ γυναῖκες, καὶ νέοι καὶ γέροντες, καὶ κόραι καὶ πρεσβύτιδες, καὶ στρατιῶται καὶ ἰδιῶται, καὶ πᾶν γένος καὶ πᾶσα ἡλικία, οἳ μὲν διὰ μαστίγων καὶ πυρός, οἳ δὲ διὰ σιδήρου τὸν ἀγῶνα νικήσαντες, τοὺς στεφάνους ἀπειλήφασιν·

21 »τοῖς δὲ οὐ πάμπολυς αὐτάρκης ἀπέβη χρόνος εἰς τὸ φανῆναι δεκτοὺς τῷ κυρίῳ, ὥσπερ οὖν ἔοικεν μηδὲ ἐμοὶ μέχρι νῦν, διόπερ εἰς ὃν οἶδεν αὐτὸς ἐπιτήδειον καιρόν ὑπερέθετό με ὁ λέγων ‹καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι›.

22 »τὰ γὰρ καθ' ἡμᾶς ἐπειδὴ πυνθάνεσθε καὶ βούλεσθε δηλωθῆναι ὑμῖν ὅπως διάγομεν, ἠκούσατε μὲν πάντως ὅπως ἡμᾶς δεσμώτας ἀγομένους ὑπὸ ἑκατοντάρχου καὶ στρατηγῶν καὶ τῶν σὺν αὐτοῖς στρατιωτῶν καὶ ὑπηρετῶν, ἐμέ τε καὶ Γάϊον καὶ Φαῦστον καὶ Πέτρον καὶ Παῦλον, ἐπελθόντες τινὲς τῶν Μαρεωτῶν, ἄκοντας καὶ μηδὲ ἑπομένους, βίᾳ τε καὶ σύροντες, ἀφήρπασαν·

23 »ἐγὼ δὲ νῦν καὶ Γάϊος καὶ Πέτρος μόνοι, τῶν ἄλλων ἀδελφῶν ἀπορφανισθέντες, ἐν ἐρήμῳ καὶ αὐχμηρῷ τῆς Λιβύης τόπῳ κατακεκλείσμεθα, τριῶν ὁδὸν ἡμερῶν τοῦ Παραιτονίου διεστηκότες».

24 καὶ ὑποκαταβάς φησιν

«ἐν δὲ τῇ πόλει καταδεδύκασιν ἀφανῶς ἐπισκεπτόμενοι τοὺς ἀδελφούς, πρεσβύτεροι μὲν Μάξιμος Διόσκορος Δημήτριος Λούκιος οἱ γὰρ ἐν τῷ κόσμῳ προφανέσ-

[109] Cf. *supra* VI 41,14-23, donde, sin embargo, no se menciona a las doncellas.
[110] Cf. Eclo 2,5.
[111] Is 49,8; 2 Cor 6,2.
[112] Cf. *supra* VI 40,5-9.
[113] Fausto y Pablo habían marchado (no es seguro que Fausto sea el mismo de los párrafos 3.6.24 y 26).
[114] Alejandría.

do, Faustino y Aquilas, andan errantes por Egipto—, y de otra, los diáconos que sobrevivieron a los que murieron en la isla [115]: Fausto, Eusebio y Queremón. Eusebio es aquel a quien Dios fortaleció [116] y preparó desde el principio para cumplir ardorosamente el servicio a los confesores encarcelados y llevar a cabo, no sin peligro, el enterramiento de los cuerpos de los perfectos y santos mártires.

25 »Efectivamente, incluso hasta el presente, el gobernador no deja de dar cruel muerte, como dije antes, a algunos de los que a él son conducidos, de desgarrar a los otros en torturas y de consumir en cárceles y prisiones al resto, ordenando que nadie se les acerque, e indagando si alguien aparece. Y, sin embargo, Dios no cesa de aliviar a los oprimidos, gracias al ánimo y perseverancia de los hermanos».

26 Esto narra Dionisio. Pero se ha de saber que Eusebio, al que él llamó diácono, poco después fue instituido obispo de Laodicea de Siria [117]. En cuanto a Máximo, que entonces dice que era presbítero, sucedió a Dionisio mismo en el ministerio de los hermanos de Alejandría [118], mientras que Fausto, que en aquel momento se distinguió junto con él por su confesión, sobrevivió hasta la persecución de nuestros días y, muy anciano ya y lleno de días [119], ha consumado su martirio en nuestro tiempo [120], decapitado. Tal sucedió a Dionisio en aquel tiempo.

τεροι Φαυστῖνος καὶ Ἀκύλας ἐν Αἰγύπτῳ πλανῶνται· διάκονοι δὲ οἱ μετὰ τοὺς ἐν τῇ νήσῳ τελευτήσαντας ὑπολειφθέντες Φαῦστος Εὐσέβιος Χαιρήμων· Εὐσέβιος, ὃν ἐξ ἀρχῆς ὁ θεὸς ἐνεδυνάμωσεν καὶ παρεσκεύασεν τὰς ὑπηρεσίας τῶν ἐν ταῖς φυλακαῖς γενομένων ὁμολογητῶν ἐναγωνίως ἀποπληροῦν καὶ τὰς τῶν σωμάτων περιστολὰς τῶν τελείων καὶ μακαρίων μαρτύρων οὐκ ἀκινδύνως ἐκτελεῖν·

25 »καὶ γὰρ μέχρι νῦν οὐκ ἀνίησιν ὁ ἡγούμενος τοὺς μὲν ἀναιρῶν, ὡς προεῖπον, ὠμῶς τῶν προσαγομένων, τοὺς δὲ βασάνοις καταξαίνων, τοὺς δὲ φυλακαῖς καὶ δεσμοῖς ἐκτήκων προστάσσων τε μηδένα τούτοις προσιέναι καὶ ἀνερευνῶν μή τις φανείη, καὶ ὅμως ὁ θεὸς τῇ προθυμίᾳ καὶ λιπαρίᾳ τῶν ἀδελφῶν διαναπαύει τοὺς πεπιεσμένους».

26 καὶ τοσαῦτα μὲν ὁ Διονύσιος. ἰστέον δὲ ὡς ὁ μὲν Εὐσέβιος, ὃν διάκονον προσεῖπεν, σμικρὸν ὕστερον ἐπίσκοπος τῆς κατὰ Συρίαν Λαοδικείας καθίσταται, ὁ δὲ Μάξιμος, ὃν τότε πρεσβύτερον εἴρηκεν, μετ' αὐτὸν Διονύσιον τὴν λειτουργίαν τῶν κατ' Ἀλεξάνδρειαν ἀδελφῶν διαδέχεται, Φαῦστος δέ, ὁ σὺν αὐτῷ τηνικάδε διαπρέψας ἐν τῇ ὁμολογίᾳ, μέχρι τοῦ καθ' ἡμᾶς διωγμοῦ φυλαχθείς, γηραιὸς κομιδῇ καὶ πλήρης ἡμερῶν καθ' ἡμᾶς αὐτοὺς μαρτυρίῳ τὴν κεφαλὴν ἀποτμηθεὶς τελειοῦται. ἀλλὰ τὰ μὲν κατ' ἐκεῖνο καιροῦ τῷ Διονυσίῳ συμβάντα τοιαῦτα·

[115] Schwartz adopta la lectura de L S[arm]. No sabemos de qué isla pueda tratarse. En cambio, el texto de los Mss da νόσῳ. ¿Podría tratarse de la peste que hizo estragos por el año 252, de que habla el mismo Dionisio *infra* 22, y a la que consagró San Cipriano su opúsculo *De mortalitate?*

[116] Cf. 1 Tim 1,12.

[117] Cf. *infra* 32,5.

[118] Eusebio, *Chronic. ad annum* 265: HELM, p.221; cf. *infra* 28,3.

[119] Cf. Gén 25,8 *et passim.*

[120] En la persecución de Diocleciano, aunque no es seguro que se trate del mismo de que se habla *infra* VIII 13,7 y del que se dice que era presbítero.

12

[De los que murieron mártires en Cesarea de Palestina]

En la mentada persecución de Valeriano [121], tres fueron los que en Cesarea de Palestina [122] sobresalieron por su confesión de Cristo y, arrojados como pasto a las fieras, se adornaron con el divino martirio. Uno de ellos se llamaba Prisco, el otro Malco y el tercero Alejandro. Se dice [123] que éstos vivían en el campo y que primero se acusaron a sí mismos de negligencia y cobardía por mostrarse indiferentes a los premios que la ocasión repartía a los que ardían de celeste deseo y por no arrebatar anticipadamente la corona del martirio; y que después de haber deliberado así, se encaminaron a Cesarea, se presentaron ante el juez y lograron para su vida el final que acabamos de decir. También cuentan que, además de éstos, durante la misma persecución y en la misma ciudad, una mujer sostuvo el mismo combate; pero una tradición [124] afirma que ésta era de la herejía de Marción.

ΙΒ'

κατὰ δὲ τὸν δηλούμενον Οὐαλεριανοῦ διωγμὸν τρεῖς ἐν Καισαρείᾳ τῆς Παλαιστίνης τῇ κατὰ Χριστὸν διαλάμψαντες ὁμολογίᾳ, θείῳ κατεκοσμήθησαν μαρτυρίῳ, θηρίων γενόμενοι βορά· τούτων ὁ μὲν Πρίσκος ἐκαλεῖτο, ὁ δὲ Μάλχος, τῷ δὲ τρίτῳ Ἀλέξανδρος ὄνομα ἦν. τούτους φασὶν κατ' ἀγρὸν οἰκοῦντας, πρότερον μὲν ἑαυτοὺς ὡς ἀμελεῖς καὶ ῥαθύμους κακίσαι, ὅτι δὴ βραβείων, τοῦ καιροῦ τοῖς πόθου γλιχομένοις οὐρανίου διανέμοντος, ὀλιγωροῖεν αὐτοί, μὴ οὐχὶ προαρπάζοντες τὸν τοῦ μαρτυρίου στέφανον· ταύτῃ δὲ βουλευσαμένους, ὁρμῆσαι ἐπὶ τὴν Καισάρειαν ὁμόσε τε χωρῆσαι ἐπὶ τὸν δικαστὴν καὶ τυχεῖν τοῦ προδεδηλωμένου τέλους. ἔτι πρὸς τούτοις γυναιόν τι κατὰ τὸν αὐτὸν διωγμὸν ἐν τῇ αὐτῇ πόλει τὸν ὅμοιον ἱστοροῦσιν ἀγῶνα διηθληκέναι· τῆς δὲ Μαρκίωνος αὐτὴν αἱρέσεως γενέσθαι κατέχει λόγος.

[121] Ya hemos dicho que los acontecimientos de la última carta extractada pertenecen a la de Decio; cf. *supra* 11,20.

[122] Eusebio quiere hacer ahora honor a su propia Iglesia.

[123] La expresión es característica para indicar que estos informes provienen de una tradición oral.

[124] Aquí Eusebio se apoya en documentación escrita, pero, debido a que se trataba de una hereje (ello indica que en Palestina todavía existían focos marcionitas), apenas hace más que mentarla de paso. Sobre otro mártir marcionita, cf. *supra* IV 15,46, y, en general, sobre los mártires de esa secta, también *supra* V 16,20-21.

13

[De la paz en tiempo de Galieno]

Pero no mucho después, mientras Valeriano sufría la esclavitud entre los bárbaros, empezó a reinar solo su hijo [125] y gobernó con mayor sensatez. Inmediatamente puso fin, mediante edictos, a la persecución contra nosotros [126], y ordenó por un rescripto [127] a los que presidían la palabra que libremente ejercieran sus funciones acostumbradas. El rescripto rezaba así:

«El emperador César Publio Licinio Galieno Pío Félix Augusto, a Dionisio, Pina, Demetrio y a los demás obispos: He mandado que el beneficio de mi don se extienda por todo el mundo, con el fin de que se evacue los lugares sagrados y por ello también podáis disfrutar de la regla contenida en mi rescripto, de manera que nadie pueda molestaros. Y aquello que podáis recuperar, en la medida de lo posible, hace ya tiempo [128] que lo he concedido. Por lo cual, Aurelio Cirinio, que está al frente de los asuntos supremos [129], mantendrá cuidadosamente la regla dada por mí» [130].

Quede inserto aquí, para mayor claridad, este rescripto, tradu-

ΙΓ'

Ἀλλ' οὐκ εἰς μακρὸν δουλείαν τὴν παρὰ βαρβάροις ὑπομείναντος Οὐαλεριανοῦ, μοναρχήσας ὁ παῖς σωφρονέστερον τὴν ἀρχὴν διατίθεται, ἀνίησί τε αὐτίκα διὰ προγραμμάτων τὸν καθ' ἡμῶν διωγμόν, ἐπ' ἐλευθερίας τοῖς τοῦ λόγου προεστῶσιν τὰ ἐξ ἔθους ἐπιτελεῖν δι' ἀντιγραφῆς προστάξας, ἥτις τοῦτον ἔχει τὸν τρόπον

«Αὐτοκράτωρ Καῖσαρ Πούπλιος Λικίνιος Γαλλιῆνος Εὐσεβὴς Εὐτυχὴς Σεβαστὸς Διονυσίῳ καὶ Πίννᾳ καὶ Δημητρίῳ καὶ τοῖς λοιποῖς ἐπισκόποις. τὴν εὐεργεσίαν τῆς ἐμῆς δωρεᾶς διὰ παντὸς τοῦ κόσμου ἐκβιβασθῆναι προσέταξα, ὅπως ἀπὸ τῶν τόπων τῶν θρησκευσίμων ἀποχωρήσωσιν, καὶ διὰ τοῦτο καὶ ὑμεῖς τῆς ἀντιγραφῆς τῆς ἐμῆς τῷ τύπῳ χρῆσθαι δύνασθε, ὥστε μηδένα ὑμῖν ἐνοχλεῖ. καὶ τοῦτο, ὅπερ κατὰ τὸ ἐξὸν δύναται ὑφ' ὑμῶν ἀναπληροῦσθαι, ἤδη πρὸ πολλοῦ ὑπ' ἐμοῦ συγκεχώρηται, καὶ διὰ τοῦτο Αὐρήλιος Κυρίνιος, ὁ τοῦ μεγίστου πράγματος προστατεύων, τὸν τύπον τὸν ὑπ' ἐμοῦ δοθέντα διαφυλάξει.»

ταῦτα ἐπὶ τὸ σαφέστερον ἐκ τῆς Ῥωμαίων ἑρμηνευθέντα γλώττης ἐγκείσθω. καὶ ἄλλη δὲ τοῦ αὐτοῦ διάταξις φέρεται,

125 Cautivo Valeriano de los persas en 260, su hijo Galieno, ya de antes asociado al imperio (desde 253), quedó como único emperador.

126 Eusebio, *Chronic. ad annum* 260: Helm, p.220; H. G. Pflaum, *Zur Reform des Kaisers Gallienus:* Historia 25 (1976) 109-117; L. de Blois, *The policy of the emperor Gallienus* (Leiden 1976).

127 Galieno había promulgado un edicto general; el rescripto conservado por Eusebio no hace más que resumir y aplicar a Egipto las disposiciones de aquél. Lo más probable es que date del mismo 260. Cf. H. Grégoire, o.c., p.121-122; sin embargo, C. Andresen ve en este «edicto», más que un reconocimiento del cristianismo como tal, un acto de εὐεργεσια (= favor, beneficio) imperial premiando la actitud política —proimperial— de Dionisio, en los años 261-262, frente al usurpador Emiliano: *Der Erlass des Gallienus an die Bischöfe Aegyptens (Euseb. HE VII 13)*, en *Studia Patristica* XII, 1 = TU 115 (Berlin 1975).

128 Probablemente Galieno hacía tiempo que, de su parte, hubiera dado el paso en favor de los cristianos.

129 No sabemos exactamente con qué cargo y atribuciones; seguramente de carácter fiscal.

130 No es todavía reconocer a la religión cristiana como «religio licita», pero se reconoce a las iglesias locales la capacidad de poseer bienes propios. Cf. S. Pezzella, *L'imperatore Gallieno e il cristianesimo* (Roma 1965).

cido del latín. Se conserva también, del mismo emperador, otra ordenanza que dirigió a otros obispos y en que permite la recuperación de los lugares llamados cementerios.

14

[Los obispos que florecieron en tiempos de Galieno]

En este tiempo, Sixto seguía todavía rigiendo la iglesia de Roma [131]; Demetriano, en cambio, la de Antioquía, a continuación de Fabio; y Firmiliano, la de Cesarea de Capadocia; además de éstos, regían las iglesias del Ponto, Gregorio y su hermano Atenodoro, discípulos de Orígenes. Por lo que atañe a Cesarea de Palestina, muerto Teoctisto, recibe en sucesión el episcopado Domno, pero, habiendo éste sobrevivido breve tiempo, fue instituido sucesor Teotecno, contemporáneo nuestro, que también era de la escuela de Orígenes. Pero también en Jerusalén, muerto Mazabanes, recibe en sucesión el trono [132] Himeneo, el mismo que ha brillado muchísimos años en nuestra época.

15

[De cómo en Cesarea murió mártir Marino]

1 Por estos años [133], a pesar de que en todas partes las iglesias tenían paz, en Cesarea de Palestina fue decapitado por haber dado testimonio de Cristo un tal Marino, que pertenecía a los altos car-

ἣν πρὸς ἑτέρους ἐπισκόπους πεποίηται, τὰ τῶν καλουμένων κοιμητηρίων ἀπολαμβάνειν ἐπιτρέπων χωρία.

ΙΔ'

Ἐν τούτῳ δὲ τῆς μὲν Ῥωμαίων ἐκκλησίας εἰς ἔτι τότε καθηγεῖτο Ξύστος, τῆς δ' ἐπ' Ἀντιοχείας μετὰ Φάβιον Δημητριανός, Φιρμιλιανὸς δὲ Καισαρείας τῆς Καππαδοκῶν, καὶ ἐπὶ τούτοις τῶν κατὰ Πόντον ἐκκλησιῶν Γρηγόριος καὶ ὁ τούτου ἀδελφὸς Ἀθηνόδωρος, Ὠριγένους γνώριμοι· τῆς δ' ἐπὶ Παλαιστίνης Καισαρείας, Θεοκτίστου μεταλλάξαντος, διαδέχεται τὴν ἐπισκοπὴν Δόμνος, βραχεῖ δὲ χρόνῳ τούτου διαγενομένου, Θεότεκνος, ὁ καθ' ἡμᾶς, διάδοχος καθίσταται· τῆς δ' Ὠριγένους διατριβῆς καὶ οὗτος ἦν. ἀλλὰ καὶ ἐν Ἱεροσολύμοις ἀναπαυσαμένου Μαζαβάνου, τὸν θρόνον Ὑμέναιος, ὁ καὶ αὐτὸς ἐπὶ πλείστοις τοῖς καθ' ἡμᾶς διαπρέψας ἔτεσιν, διεδέξατο.

ΙΕ'

1 κατὰ τούτους εἰρήνης ἁπανταχοῦ τῶν ἐκκλησιῶν οὔσης, ἐν Καισαρείᾳ τῆς Παλαιστίνης Μαρῖνος τῶν ἐν στρατείαις ἀξιώμασι τετιμημένων γένει τε καὶ πλού-

[131] «En este tiempo», esto es, en el de Galieno como único emperador, no existía ya Sixto II, que había muerto mártir el 6 de agosto de 258, tras menos de un año de pontificado; cf. *supra* 5,3. En realidad, Eusebio no parece tener aquí otra intención que dar los nombres de los obispos y de sus sedes respectivas, sin entrar en precisiones cronológicas.
[132] Cf. *infra* 19.
[133] Siguen los años de Galieno.

gos del ejército y se distinguía por su linaje y sus riquezas. La causa fue la siguiente:

2 Entre los romanos hay una insignia de honor: el sarmiento [134], y dicen que quienes lo alcanzan se convierten en centuriones. Habiendo vacante una plaza, el escalafón designaba a Marino para este ascenso. Ya estaba a punto de recibir el honor cuando se presentó ante el tribunal otro afirmando que, según las antiguas leyes, Marino no podía tomar parte en las dignidades romanas, puesto que era cristiano y no sacrificaba a los emperadores [135], y que el cargo le correspondía a él.

3 Ante esto, el juez (que era Aqueo) se sintió turbado y empezó por preguntar a Marino qué pensaba él, pero cuando vio que éste insistía en confesar que era cristiano, le concedió el plazo de tres horas para que reflexionara.

4 Hallándose fuera del tribunal, se le acercó Teotecno, obispo del lugar, y le apartó para conversar y, tomándole por la mano, lo condujo a la iglesia; una vez dentro, lo plantó delante del mismo santuario y, levantándole un poco la clámide, le señaló su espada, que colgaba, a la vez que le presentaba y le contraponía la Escritura de los divinos Evangelios, mandándole que entre las dos cosas escogiera la que le pareciese. Pero él, sin vacilar, extendió la derecha y tomó la divina Escritura. «Mantente, pues—le dice Teotecno—, mantente aferrado a Dios y ojalá alcances, fortalecido por El [136], lo que has escogido. Vete en paz».

τῳ περιφανὴς ἀνήρ, διὰ τὴν Χριστοῦ μαρτυρίαν τὴν κεφαλὴν ἀποτέμνεται, τοιᾶσδε ἕνεκεν αἰτίας.

2 τιμή τίς ἐστι παρὰ Ῥωμαίοις τὸ κλῆμα, οὗ τοὺς τυχόντας φασὶν ἑκατοντάρχους γίνεσθαι. τόπου σχολάζοντος, ἐπὶ τοῦτο προκοπῆς τὸν Μαρῖνον ἡ τοῦ βαθμοῦ τάξις ἐκάλει, ἤδη τε μέλλοντα τῆς τιμῆς ἔχεσθαι .παρελθὼν ἄλλος πρὸ τοῦ βήματος, μὴ ἐξεῖναι μὲν ἐκείνῳ τῆς Ῥωμαίων μετέχειν ἀξίας κατὰ τοὺς παλαιοὺς νόμους, Χριστιανῷ γε ὄντι καὶ τοῖς βασιλεῦσι μὴ θύοντι, κατηγόρει, αὐτῷ δ' ἐπιβάλλειν τὸν κλῆρον·

3 ἐφ' ᾧ κινηθέντα τὸν δικαστήν (Ἀχαιὸς οὗτος ἦν) πρῶτον μὲν ἐρέσθαι ποίας ὁ Μαρῖνος εἴη γνώμης, ὡς δ' ὁμολογοῦντα Χριστιανὸν ἐπιμόνως ἑώρα, τριῶν ὡρῶν ἐπιδοῦναι αὐτῷ εἰς ἐπίσκεψιν διάστημα.

4 ἐκτὸς δῆτα γενόμενον αὐτὸν τοῦ δικαστηρίου Θεότεκνος ὁ τῇδε ἐπίσκοπος ἀφέλκει, προσελθὼν δι' ὁμιλίας, καὶ τῆς χειρὸς λαβὼν ἐπὶ τὴν ἐκκλησίαν προάγει, εἴσω τε πρὸς αὐτῷ στήσας τῷ ἁγιάσματι, μικρόν τι παραναστείλας αὐτοῦ τῆς χλαμύδος καὶ τὸ προσηρτημένον αὐτῷ ξίφος ἐπιδείξας ἅμα τε ἀντιπαρατίθησιν προσαγαγὼν αὐτῷ τὴν τῶν θείων εὐαγγελίων γραφήν, κελεύσας τῶν δυεῖν ἑλέσθαι τὸ κατὰ γνώμην. ὡς δ' ἀμελλητὶ τὴν δεξιὰν προτείνας ἐδέξατο τὴν θείαν γραφήν, «ἔχου τοίνυν ἔχου», φησὶν πρὸς αὐτὸν ὁ Θεότεκνος, «τοῦ θεοῦ, καὶ τύχοις ὧν εἷλου, πρὸς αὐτοῦ δυναμούμενος, καὶ βάδιζε μετ' εἰρήνης».

[134] Era el bastón de mando del centurión, llamado *vitis;* por metonimia recibía tal nombre el mismo grado de centurión.

[135] El edicto de Galieno (cf. *supra* 13) no reconocía al cristianismo como «religio licita»; por lo tanto, aun en tiempos de paz, sobre todo entre soldados, eran posibles casos como este de Marino (de quien, por lo demás, es todo lo que sabemos). El soldado cristiano se hallaba totalmente indefenso.

[136] Cf. Col 1,11.

5 Salió al punto de allí. Un pregonero lanzaba ya su grito llamándole de nuevo ante el tribunal. Efectivamente, se había cumplido ya el plazo previamente fijado. Presentóse entonces ante el juez y, mostrando un entusiasmo todavía mayor por su fe, en seguida, tal como estaba, se le condujo al suplicio y fue ejecutado.

16

[La historia de Astirio]

Allí también [137] se recuerda a Astirio por su gran franqueza, agradable a Dios. Era miembro del senado romano, favorito de los emperadores y de todos conocido por su noble linaje y por su hacienda. Se hallaba presente cuando se ejecutaba al mártir, y, arrimando su hombro, levantó el cadáver sobre su espléndida y rica vestidura y se lo llevó para enterrarlo con gran magnificencia y darle digna sepultura. Los allegados y conocidos de este hombre que han sobrevivido hasta nosotros recuerdan otras innumerables hazañas suyas, incluida la que sigue, portentosa.

17 [138]

En Cesarea de Filipo, que los fenicios llaman Paneas, se dice que, en las fuentes que allí se muestran, al pie de la montaña llamada Paneión, y de las cuales nace el Jordán, cierto día de fiesta se arroja una víctima inmolada, y ésta, por virtud del demonio, se hace

5 εὐθὺς ἐκεῖθεν ἐπανελθόντα αὐτὸν κῆρυξ ἐβόα καλῶν πρὸ τοῦ δικαστηρίου· καὶ γὰρ ἤδη τὰ τῆς προθεσμίας τοῦ χρόνου πεπλήρωτο· καὶ δὴ παραστὰς τῷ δικαστῇ καὶ μείζονα τῆς πίστεως τὴν προθυμίαν ἐπιδείξας, εὐθὺς ὡς εἶχεν, ἀπαχθεὶς τὴν ἐπὶ θανάτῳ, τελειοῦται.

ΙϚ'

Ἔνθα καὶ Ἀστύριος ἐπὶ τῇ θεοφιλεῖ παρρησίᾳ μνημονεύεται, ἀνὴρ τῶν ἐπὶ Ῥώμης συγκλητικῶν γενόμενος βασιλεῦσίν τε προσφιλὴς καὶ πᾶσι γνώριμος εὐγενείας τε ἕνεκα καὶ περιουσίας· ὃς παρὼν τελειουμένῳ τῷ μάρτυρι, τὸν ὦμον ὑποθείς, ἐπὶ λαμπρᾶς καὶ πολυτελοῦς ἐσθῆτος ἄρας τὸ σκῆνος ἐπιφέρεται, περιστείλας τε εὖ μάλα πλουσίως, τῇ προσηκούσῃ ταφῇ παραδίδωσιν. τούτου μυρία μὲν καὶ ἄλλα μνημονεύουσιν οἱ τἀνδρὸς καὶ εἰς ἡμᾶς διαμείναντες γνώριμοι, ἀτὰρ καὶ παραδόξου τοιούτου.

ΙΖ'

ἐπὶ τῆς Φιλίππου Καισαρείας, ἣν Πανεάδα Φοίνικες προσαγορεύουσιν, φασὶ παρὰ ταῖς αὐτόθι δεικνυμέναις ἐν ταῖς ὑπωρείαις, τοῦ καλουμένου Πανείου ὄρους πηγαῖς, ἐξ ὧν καὶ τὸν Ἰορδάνην προχεῖσθαι, κατά τινα ἑορτῆς ἡμέραν σφά-

[137] En la misma Cesarea de Palestina.
[138] En la distribución actual de los capítulos, según dijimos, éste carece de título.

invisible de modo prodigioso. El hecho resulta maravilla famosa para los que se hallan presentes. Pues bien, una vez asistía a la operación Astirio y, contemplando a la muchedumbre afectada por el hecho, se compadeció de su error, y levantando los ojos al cielo suplicó por Cristo al Dios que está sobre todas las cosas [139] que confundiera al demonio extraviador del pueblo y le hiciera dejar de engañar a los hombres. Y se cuenta que así que hubo orado él de ese modo, la víctima comenzó a sobrenadar en las fuentes y de esta manera cesó para ellos el prodigio y ya no se dio en adelante ningún milagro en torno al lugar.

18

[De las señales de la magnificencia de nuestro Salvador existentes en Paneas]

1 Mas ya que hemos hecho mención de esta ciudad, creo que no es justo pasar por alto un relato digno de memoria incluso para nuestros descendientes. En efecto, la hemorroísa, que por los *Evangelios* [140] sabemos que encontró la curación de su mal por obra de nuestro Salvador, se dice que era oriunda de esa ciudad y que en ella se enseña su casa, y que aún subsisten monumentos admirables de la buena obra realizada por el Salvador en ella:

2 Efectivamente, sobre una piedra alta, delante de las puertas de su casa, se alza una estatua de mujer, en bronce, con una rodilla doblada y con las manos tendidas hacia adelante como una suplican-

γιόν τι καταβάλλεσθαι καὶ τοῦτο τῇ τοῦ δαίμονος δυνάμει ἀφανὲς γίνεσθαι παραδόξως θαῦμά τε εἶναι περιβόητον τοῖς παροῦσι τὸ γινόμενον. παρόντα δ' οὖν ποτε τοῖς πραττομένοις τὸν 'Αστύριον καὶ τὸ πρᾶγμα καταπεπληγμένους ἰδόντα τοὺς πολλούς, οἰκτεῖραι τῆς πλάνης, κἄπειτα ἀνανεύσαντα εἰς οὐρανόν, ἱκετεῦσαι διὰ Χριστοῦ τὸν ἐπὶ πάντων θεὸν τὸ λαοπλάνον δαιμόνιον ἐλέγξαι καὶ παῦσαι τῆς τῶν ἀνθρώπων ἀπάτης. ταῦτα δέ φασιν εὐξαμένου, ἀθρόως τὸ ἱερεῖον ἐπιπολάσαι ταῖς πηγαῖς οὕτω τε αὐτοῖς τὸ παράδοξον οἴχεσθαι, μηδενὸς μηκέτι θαύματος περὶ τὸν τόπον γινομένου.

ΙΘ'

1 'Αλλ' ἐπειδὴ τῆσδε τῆς πόλεως εἰς μνήμην ἐλήλυθα, οὐκ ἄξιον ἡγοῦμαι παρελθεῖν διήγησιν καὶ τοῖς μεθ' ἡμᾶς μνημονεύεσθαι ἀξίαν. τὴν γὰρ αἱμορροοῦσαν, ἣν ἐκ τῶν ἱερῶν εὐαγγελίων πρὸς τοῦ σωτῆρος ἡμῶν τοῦ πάθους ἀπαλλαγὴν εὔρασθαι μεμαθήκαμεν, ἐνθένδε ἔλεγον ὁρμᾶσθαι τόν τε οἶκον αὐτῆς ἐπὶ τῆς πόλεως δείκνυσθαι καὶ τῆς ὑπὸ τοῦ σωτῆρος εἰς αὐτὴν εὐεργεσίας θαυμαστὰ τρόπαια παραμένειν.

2 ἑστάναι γὰρ ἐφ' ὑψηλοῦ λίθου πρὸς μὲν ταῖς πύλαις τοῦ αὐτῆς οἴκου γυναικὸς ἐκτύπωμα χάλκεον, ἐπὶ γόνυ κεκλιμένον καὶ τεταμέναις ἐπὶ τὸ πρόσθεν ταῖς χερ-

[139] Cf. Rom 9,5.
[140] Cf. Mt 9,20ss; Mc 5,25ss; Lc 8,43ss.

te; y enfrente de ésta, otra del mismo material, efigie de un hombre en pie, revestido pulcramente con un manto y tendiendo su mano hacia la mujer; a sus pies, sobre la misma estela, brota una extraña especie de planta, que sube hasta la orla del manto de bronce y resulta un antídoto contra toda clase de enfermedades.

3 Esta estatua dicen que reproducía la imagen de Jesús. Se conservaba hasta nuestros días, como lo hemos comprobado de vista nosotros mismos, de paso en aquella ciudad [141].

4 Y no es extraño que hayan hecho esto aquellos paganos de otro tiempo que recibieron algún beneficio de nuestro Salvador, cuando hemos indagado que se conservan pintadas en cuadros las imágenes de sus apóstoles Pablo y Pedro, e incluso del mismo Cristo, cosa natural, pues los antiguos tenían por costumbre honrarlos de este modo, llanamente, como a salvadores, según el uso pagano vigente entre ellos [142].

19

[Del trono de Santiago]

El trono de Santiago, primero que recibió del Salvador y de los apóstoles el episcopado de la iglesia de Jerusalén y al que los libros divinos llaman incluso hermano de Cristo [143], ha sido preservado

σιν ἱκετευούσῃ ἐοικός, τούτου δὲ ἄντικρυς ἄλλο τῆς αὐτῆς ὕλης, ἀνδρὸς ὄρθιον σχῆμα. διπλοΐδα κοσμίως περιβεβλημένον καὶ τὴν χεῖρα τῇ γυναικὶ προτεῖνον, οὗ παρὰ τοῖς ποσὶν ἐπὶ τῆς στήλης αὐτῆς ξένον τι βοτάνης εἶδος φύειν, ὃ μέχρι τοῦ κρασπέδου τῆς τοῦ χαλκοῦ διπλοΐδος ἀνιόν, ἀλεξιφάρμακόν τι παντοίων νοσημάτων τυγχάνειν.

3 τοῦτον τὸν ἀνδριάντα εἰκόνα τοῦ Ἰησοῦ φέρειν ἔλεγον, ἔμενεν δὲ καὶ εἰς ἡμᾶς, ὡς καὶ ὄψει παραλαβεῖν ἐπιδημήσαντας αὐτοὺς τῇ πόλει.

4 καὶ θαυμαστὸν οὐδὲν τοὺς πάλαι ἐξ ἐθνῶν εὐεργετηθέντας πρὸς τοῦ σωτῆρος ἡμῶν ταῦτα πεποιηκέναι, ὅτε καὶ τῶν ἀποστόλων αὐτοῦ τὰς εἰκόνας Παύλου καὶ Πέτρου καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ διὰ χρωμάτων ἐν γραφαῖς σῳζομένας ἱστορήσαμεν, ὡς εἰκός, τῶν παλαιῶν ἀπαραφυλάκτως οἷα σωτῆρας ἐθνικῇ συνηθείᾳ παρ' ἑαυτοῖς τοῦτον τιμᾶν εἰωθότων τὸν τρόπον.

ΙΘ'

τὸν γὰρ Ἰακώβου θρόνον, τοῦ πρώτου τῆς Ἱεροσολύμων ἐκκλησίας τὴν ἐπισκοπὴν πρὸς τοῦ σωτῆρος καὶ τῶν ἀποστόλων ὑποδεξαμένου, ὃν καὶ ἀδελφὸν τοῦ Χριστοῦ χρηματίσαι οἱ θεῖοι λόγοι πε-

[141] Este extraño relato alcanzó gran aceptación entre los autores posteriores a Eusebio, que nos dejaron referencias más o menos coincidentes, como Filostorgo *(Hist. Eccl.* 7,3), Sozomeno *(Hist. Eccl.* 5,21), Juan Malalas *(Chronogr.* 10), San Juan Damasceno *(De sacris imag. adv. Const.* 3), y hasta la cadena sobre San Lucas, editada por Mai *(Nova Biblioth. Patrum* t.14 p.167).

[142] El culto cristiano de las imágenes parece ser ya un hecho; Eusebio lo ve como un claro influjo pagano; cf. V. Fazzo, *La giustificazione delle immagine religiose della tarda antiquità al Cristianesimo.* Vol. 1.°: *La tarda antichità* (con un Appendice sull'Iconoclasmo bizantino) (Nápoles 1977).

[143] Cf. Gál 1,19.

hasta hoy. Los hermanos del lugar han venido rodeándolo de cuidados en las sucesivas generaciones y claramente muestran a todos qué veneración conservan los antiguos y siguen conservando los de hoy para con los santos varones, por ser amados de Dios [144].

De esto basta ya.

20

[De las «Cartas festales» de Dionisio, en las cuales fija también un canon sobre la Pascua]

Por lo que hace a Dionisio, además de las cartas suyas mencionadas [145], compuso por aquel tiempo otras que todavía se conservan: las festales [146]. En ellas enarbola palabras mucho más solemnes acerca de la fiesta de la Pascua. Una va dirigida a Flavio [147], y otra a Domecio y Dídimo [148], en la cual propone incluso un canon de ocho años, alegando que no conviene celebrar la fiesta de la Pascua más que después del equinoccio de primavera [149]. Además de estas cartas escribió también otra a sus copresbíteros de Alejandría, y a la vez a otras personas en términos sobresalientes; éstas cuando todavía duraba la persecución.

ριέχουσιν, εἰς δεῦρο πεφυλαγμένον οἱ τῇδε κατὰ διαδοχὴν περιέποντες ἀδελφοὶ σαφῶς τοῖς πᾶσιν ἐπιδείκνυνται οἷον περὶ τοὺς ἁγίους ἄνδρας τοῦ θεοφιλοῦς ἕνεκεν οἵ τε πάλαι καὶ οἱ εἰς ἡμᾶς ἔσῳζόν τε καὶ ἀποσῴζουσι σέβας. καὶ ταῦτα μὲν ταύτῃ·

Κʹ

ὅ γε μὴν Διονύσιος πρὸς ταῖς δηλωθείσαις ἐπιστολαῖς αὐτοῦ ἔτι καὶ τὰς φερομένας ἑορταστικὰς τὸ τηνικαῦτα συντάττει, πανηγυρικωτέρους ἐν αὐταῖς περὶ τῆς τοῦ πάσχα ἑορτῆς ἀνακινῶν λόγους. τούτων τὴν μὲν Φλαυίῳ προσφωνεῖ, τὴν δὲ Δομετίῳ καὶ Διδύμῳ, ἐν ᾗ καὶ κανόνα ἐκτίθεται ὀκταετηρίδος, ὅτι μὴ ἄλλοτε ἢ μετὰ τὴν ἐαρινὴν ἰσημερίαν προσήκοι τὴν τοῦ πάσχα ἑορτὴν ἐπιτελεῖν, παριστάμενος· πρὸς ταύταις καὶ ἄλλην τοῖς κατ' Ἀλεξάνδρειαν συμπρεσβυτέροις ἐπιστολὴν διαχαράττει ἑτέροις τε ὁμοῦ διαφόρως, καὶ ταύτας ἔτι τοῦ διωγμοῦ συνεστῶτος.

144 Ya hemos hecho notar (*supra* II 23,1) cómo siempre que se trata de la sede episcopal de Jerusalén se habla del «trono». A juzgar por el presente capítulo, los cristianos de Jerusalén conservaban como preciosa reliquia el asiento material utilizado por Santiago y lo habían elevado, por respeto, a la categoría de «trono», símbolo material, a la vez, del episcopado primado universal, según la mentalidad de aquellos primeros siglos.

145 Algunas de las ya citadas por contener noticias de las persecuciones de Decio y Valeriano (v.gr., la de Hermamón, *supra* 1; 10,2), pertenecen a las festales aquí anunciadas.

146 En ellas, Dionisio—y en esto le siguieron fielmente sus sucesores—anunciaba la fecha de la Pascua y además trataba otros asuntos de interés inmediato; cf. Lawlor, *Eusebiana* p.160-165.169-174.

147 Esta se ha perdido.

148 Quizás la que se cita *supra* 11,20. Mientras Lawlor (p.250-253) la fecha en 251 (persecución de Decio), M. Sordi (o.c., p.127-129) piensa que informa sobre la persecución de Valeriano y la fecha en la Pascua del 259 o del 260.

149 Como veremos *infra* 32,14-20, el cálculo para la fecha de la Pascua resultaba más bien complicado y no dejaba de suscitar problemas; cf. V. Grumel, *Le problème de la date pascale aux IIIe et IVe s. L'origine du conflit; le nouveau cadre du comput pascal juif*: Revue des Études Byzantines 18 (1960) 163-178.

21

[De lo que sucedió en Alejandría]

1 Apenas se había restablecido la paz, y ya estaba de regreso en Alejandría; pero habiendo estallado de nuevo allí una sedición y una guerra, de modo que no le era posible visitar a todos los hermanos de la ciudad, divididos como estaban en uno y otro bando de la sedición, una vez más, en la fiesta de Pascua [150], desde la misma Alejandría, igual que si estuviera al otro lado de la frontera, entró en comunicación con ellos por carta.

2 Y escribiendo también después de esto a Hieraco [151], un obispo de Egipto [152], otra carta festal, menciona la rebelión de los alejandrinos de su tiempo en estos términos:

«Y en cuanto a mí, ¿por qué admirarse de que me sea penoso comunicar incluso por carta con los que moran más lejos, siendo así que hasta el conversar conmigo mismo y deliberar con mi propia alma se me hace imposible?

3 »Lo cierto es que, en relación con mi propia entraña [153], esto es, con los hermanos que comparten mi techo y mis sentimientos, ciudadanos también de mi misma iglesia, necesito de correspondencia epistolar, y aun ésta no veo cómo arreglarme para transmitirla, porque le sería más fácil a uno atravesar, no digo ya más allá de la

ΚΑ'

1 Ἐπιλαβούσης δὲ ὅσον οὔπω τῆς εἰρήνης, ἐπάνεισι μὲν εἰς τὴν Ἀλεξάνδρειαν, πάλιν δ' ἐνταῦθα στάσεως καὶ πολέμου συστάντος, ὡς οὐχ οἷόν τε ἦν αὐτῷ τοὺς κατὰ τὴν πόλιν ἅπαντας ἀδελφούς, εἰς ἑκάτερον τῆς στάσεως μέρος διῃρημένους, ἐπισκοπεῖν,

2 αὖθις ἐν τῇ τοῦ πάσχα ἑορτῇ, ὥσπερ τις ὑπερόριος, ἐξ αὐτῆς τῆς Ἀλεξανδρείας διὰ γραμμάτων αὐτοῖς ὡμίλει. καὶ Ἱέρακι δὲ μετὰ ταῦτα τῶν κατ' Αἴγυπτον ἐπισκόπῳ ἑτέραν ἑορταστικὴν ἐπιστολὴν γράφων, τῆς κατ' αὐτὸν τῶν Ἀλεξανδρέων στάσεως μνημονεύει διὰ τούτων

«ἐμοὶ δέ, τί θαυμαστὸν εἰ πρὸς τοὺς πορρωτέρω παροικοῦντας χαλεπὸν τὸ κἂν δι' ἐπιστολῶν ὁμιλεῖν, ὅτε καὶ τὸ πρὸς ἐμαυτὸν αὐτῷ μοι διαλέγεσθαι καὶ τῇ ἰδίᾳ ψυχῇ συμβουλεύεσθαι καθέστηκεν ἄπορον;

3 »πρὸς γοῦν τὰ ἐμαυτοῦ σπλάγχνα, τοὺς ὁμοσκήνους καὶ συμψύχους ἀδελφοὺς καὶ τῆς αὐτῆς πολίτας ἐκκλησίας, ἐπιστολιμαίων δέομαι γραμμάτων, καὶ ταῦθ' ὅπως διαπεμψαίμην, ἀμήχανον φαίνεται. ῥᾷον γὰρ ἄν τις οὐχ ὅπως εἰς

[150] Todos los indicios apuntan a la Pascua de 262, precedida de las repercusiones que en Alejandría tuvo la rebelión de Macriano contra Galieno; cf. S. I. Oost, *The Alexandrian seditions under Philip and Gallienus:* Classical Philology 56 (1961) 1-20.

[151] Eusebio piensa que los hechos relatados en la carta a Hieraco pertenecen al año siguiente que la carta anterior, esto es, Pascua de 263 (M. Sordi [o.c., p.124-26] piensa en 261). Pero creo, con Lawlor (p.253), que la carta habla más bien de la época turbulenta que precedió a la subida de Valeriano al poder, después de la tremenda peste de 252; por lo tanto, que data de por entonces.

[152] Cf. *supra* VI 41,19 nota 305.

[153] Flm 12.20.

frontera, sino incluso de Oriente a Occidente, que llegarse a Alejandría desde la misma Alejandría;

4 »pues más vasta y más impracticable que aquel enorme y no hollado desierto que Israel recorrió en dos generaciones [154] es la calle más céntrica de la ciudad. Y del mar que, partido y separado por dos muros, aquéllos encontraron vadeable para sus caballos, mientras los egipcios eran anegados en la misma senda [155], son imagen los puertos apacibles y sin oleaje, pues muchas veces, por los asesinatos en ellos cometidos, aparecen igual que un mar Rojo [156].

5 »Y el río que baña la ciudad, unas veces se le ha visto más reseco que el sediento desierto y más árido que aquel en que, al atravesarlo, tanta sed pasó Israel, que Moisés gritó suplicando y por obra del único que hace maravillas [157] brotó bebida para ellos de un risco [158];

6 »y otras veces, en cambio, tanto se desbordó, que inundó toda la contornada, las calles y los campos, hasta amenazar con la avenida de las aguas de los tiempos de Noé. Y siempre corre manchado con sangre, por homicidios y ahogamientos, como en tiempos de Moisés, cuando se convirtió para el faraón en sangre y apestaba [159].

7 »¿Y qué otra agua podría purificar al agua que todo lo purifica? ¿Y cómo el vasto océano, infranqueable para el hombre, podría derramarse y purificar este amargo mar? ¿O cómo el gran río

τὴν ὑπερορίαν, ἀλλὰ καὶ ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς περαιωθείη, ἢ τὴν 'Αλεξάνδρειαν ἀπ' αὐτῆς τῆς 'Αλεξανδρείας ἐπέλθοι.

4 »τῆς γὰρ ἐρήμου τῆς πολλῆς καὶ ἀτριβοῦς ἐκείνης ἣν ἐν δυσὶν γενεαῖς διώδευσεν ὁ 'Ισραήλ, ἄπειρος μᾶλλον καὶ ἄβατός ἐστιν ἡ μεσαιτάτη τῆς πόλεως ὁδός· καὶ τῆς θαλάσσης ἣν ἐκεῖνοι ῥαγεῖσαν καὶ διατειχισθεῖσαν ἔσχον ἱππήλατον καὶ ὧν ἐν τῇ λεωφόρῳ κατεποντίσθησαν Αἰγύπτιοι, οἱ γαληνοὶ καὶ ἀκύμαντοι λιμένες γεγόνασιν εἰκών, πολλάκις φανέντες ἀπὸ τῶν ἐν αὐτοῖς φόνων οἷον ἐρυθρὰ θάλασσα·

5 »ὁ δ' ἐπιρρέων ποταμὸς τὴν πόλιν ποτὲ μὲν ἐρήμου τῆς ἀνύδρου ξηρότερος ὤφθη καὶ μᾶλλον αὐχμώδης ἐκείνης ἣν διαπορευόμενος ὁ 'Ισραὴλ οὕτως ἐδίψησεν, ὡς Μωσῆ μὲν καταβοᾶν, ῥυῆναι δ' αὐτοῖς παρὰ τοῦ θαυμάσια ποιοῦντος μόνου ἐκ πέτρας ἀκροτόμου ποτόν·

6 »ποτὲ δὲ τοσοῦτος ἐπλήμμυρεν ὡς πᾶσαν τὴν περίχωρον τάς τε ὁδοὺς καὶ τοὺς ἀγροὺς ἐπικλύσαντα, τῆς ἐπὶ Νῶε γενομένης τοῦ ὕδατος φορᾶς ἐπαγαγεῖν ἀπειλήν· ἀεὶ δὲ αἵματι καὶ φόνοις καὶ καταποντισμοῖς κάτεισιν μεμιασμένος, οἷος ὑπὸ Μωσῆ γέγονεν τῷ Φαραώ, μεταβαλὼν εἰς αἷμα καὶ ἐποζέσας.

7 »καὶ ποῖον γένοιτ' ἂν τοῦ πάντα καθαίροντος ὕδατος ὕδωρ ἄλλο καθάρσιον; πῶς ἂν ὁ πολὺς καὶ ἀπέραντος ἀνθρώποις ὠκεανὸς ἐπιχυθεὶς τὴν πικρὰν ταύτην ἀποσμήξαι θάλασσαν; ἢ πῶς ἂν ὁ μέγας ποταμός, ὁ ἐκπορευόμενος ἐξ 'Εδέμ, τὰς τέσσαρας ἀρχὰς εἰς ἃς ἀφορίζεται, μετοχετεύσας εἰς μίαν τοῦ Γηών, ἀποπλύναι τὸν λύθρον;

[154] Cf. Núm 14,22-23.
[155] Cf. Ex 14,29-30.
[156] Cf. Ex 15,4.
[157] Cf. Sal 135,4.
[158] Cf. Núm 20,1-11; Dt 8,15; Sal 78,20; Sal 11,4.
[159] Cf. Ex 7,20-21.

que sale del Edén podría lavar la sangre impura, aun cuando trasvasara los cuatro brazos en que se divide a uno sólo: el Geón? [160]

8 »¿Y cuándo podría quedar puro el aire infestado por los miasmas procedentes de todas partes? Porque tales hálitos emanan de la tierra, tales vientos del mar, tales efluvios de los ríos y tales exhalaciones de los puertos, que el rocío podría ser el pus de cadáveres que se pudren en todos los elementos indicados.

9 »Y luego la gente se admira y está incierta de dónde provienen las continuas pestes y las graves enfermedades, de dónde las corrupciones de toda especie y la varia y reiterada mortandad de los hombres, y por qué la gran ciudad no sostiene ya en sí misma aquella tan grande muchedumbre de hombres que antes alimentaba, comenzando por los niños de pecho, hasta los ancianos de extrema vejez, pasando por el gran número de 'viejos prematuros', como se les llamaba. Al contrario, los cuarentones y hasta los setentones eran tan numerosos entonces, que ahora su número no llega a completarse aunque estén inscritos y apuntados para la ración pública de víveres desde los catorce hasta los ochenta años [161]; y los que aparentan más jóvenes parecen contemporáneos de los más viejos de entonces.

